ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΤΗΣ ΜΗΛΙΩΤΙΚΗΣ ΣΧΟΛΗΣ
ΜΗΛΕΩΝ
223.2
ΤΑΞ. ΑΡ. ΒΙ 471
ΑΡ. ΕΙΣ. 233
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

54

Βιβλιοθήκη Μηλεῶν
Ἀριθμ. 390
1

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών




Δημόσια Βιβλιοθήκη Μηλεών

223.2
ΒΙ 471

Εισαγ. 734

# ΨΑΛΤΗΡΙΟΝ
# ΔΑΒΙΔ

ΤΟΥ

ΠΡΟΦΗΤΟΥ ΚΑῚ ΒΑΣΙΛΕΏΣ.

Νῦν

πρῶτον τύποις ἐκδοθὲν μετὰ τῶν κατανυκτικῶν τροπαρίων καὶ εὐχῶν ἐν τῷ τέλει τῶν Καθισμάτων, καὶ μετὰ τῶν ἐτησίων Πολυελαίων

φιλοτίμῳ δαπάνῃ τοῦ τιμιωτάτου ἐν πραγματευταῖς

ΚΥΡΊΟΥ ΚΥΡΊΟΥ

ΚΩΝΣΤΑΝΤΊΝΟΥ ΚΟΥΣΚΟΥΡΟΥΛΗ

παρ' οὗ καὶ ἀφιερώθη

τῷ Θεοφιλεστάτῳ Ἐπισκόπῳ Πλαταμῶνος

ΚΥΡΊῼ, ΚΥΡΊῼ,

ΔΙΟΝΥΣΊῼ.

Ἐκ τῶν Γρηγορί[ου] Ἰω[άννου] Κωνσταντ[ίνου].

Νῦν δὲ ἐκ τῶν τῆς Μηλιωτικῆς σχολῆς καὶ ὁ ἀφαιρήσας ἀφορισμένος!

αψϟγ'. Ἐν ΒΙΈΝΝΗ. 1793.

Ἐκ τῆς Ἑλληνικῆς Τυπογραφίας Γεωργίου Βεντότη.

ΥΠΟΥΡΓΕΙΟΝ ΠΑΙΔΕΙΑΣ — ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ — ΒΙΒΛΙΟΘΗΚΗ ΜΗΛΕΩΝ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

# Σ Τ Ι' Χ Ο Ι
## ΕΙ'Σ ΤΟ'Ν ΘΕΙ'ΟΝ
# Δ Α Β Ι' Δ.

Σίγησον Ὀρφεῦ, ῥίψον Ἑρμῆ τὴν λύραν,
Τρίπους ὁ Δελφοῖς, δυῶν εἰς λήθην ἔτι.
Δαβὶδ γὰρ ἡμῖν Πνεύματος κρέων λύραν,
Τρανοῖ τὰ κρυπτὰ τῶν Θεοῦ Μυστηρίων.
Πληθὺν παλαιῶν ἱστορεῖ τεραστίων.
Κινεῖ πρὸς ὕμνον τοῦ Κτίσαντος τὴν Κτίσιν.
Σώζων ἅπαντας, μυσταγωγεῖ, καὶ γράφει.
Ἁμαρτάνοντας εἰς ἐπιστροφὴν φέρει.
Πολλαῖς σὺν ἄλλοις, καὶ Κριτοῦ δηλῶν κρίσιν;
Τμήγειν διδάσκει ψυχικὰς ἁμαρτάδας.

## Ε'ΤΕΡΟΝ ΔΙ'ΣΤΙΧΟΝ.

ΔΑΒΙ'Δ τὸ Ψαλτήριον, οὗ λίθοι λόγοι
Ἄλλον Γολιάθ, συντρίβουσι τὰ πάθη.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΤΩ͂,

ἘΛΛΟΓΙΜΩΤΑ΄ΤΩ, καὶ ΣΕΒΑΣΜΙΩΤΑ΄ΤΩ,

ΚΥΡΙ΄Ω, ΚΥΡΙ΄Ω,

# ΔΙΟΝΥΣΙ΄Ω

ΤΩ͂,

ΘΕΟΦΙΛΕΣΤΑ΄ΤΩ, ἘΠΙΣΚΟ΄ΠΩ

# ΠΛΑΤΑΜΩ͂ΝΟΣ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΘΕΟΦΙΛΕΣΤΑΤΕ.

Δύο ὡς ἐπὶ τὸ πλεῖστον εἰσὶ τὰ τέλη τῶν προσφωνέντων βιβλία, ἵνα συνηθῶσι ἢ διὰ τῆς εὐκλείας καὶ ἐξόχων προτερημάτων τοῦ ὑποκειμένου εἰς ὃ προσφωνεῖται ἡ βίβλος, ἐπαινέσαι τὸν συγγραφέα, καὶ συστῆσαι τὴν βίβλον, ἢ διὰ τῆς βίβλου ἐγκωμιάσαι τὸ ὑποκείμενον.

Εἰς τὴν παροῦσαν προσφώνησιν καὶ τὰ δύο αὐτὰ τέλη λείπουσι· διότι ὁ προφητάναξ Δαβίδ, ἡ σάλπιγξ τοῦ Πνεύματος εἰς τὰς ἱερὰς ἀκολουθίας, ἐν πάσαις ταῖς ἑορταῖς καὶ ἡμέραις τοῦ ἐνιαυτοῦ, ἀνώτερος ὑπάρχει οὐ μόνον τῶν ἐμῶν, ἀλλὰ καὶ πάντων τῶν ἐπιγείων ἐπαίνων καὶ ἐγκωμίων. Ἡ δὲ Θεοφιλεστάτη Αὐτῆς ψυχή, ἐκθειαζομένη παρὰ πάσης τῆς Ἑλλάδος, ὡς μιμησαμένη τὸν τοῦ Ἀποστόλου Ἀρχιερέα, οὐ μόνον χρείαν οὐκ ἔχει ἐπαίνων, ἀλλὰ καὶ τολμηρὸν ἤθελεν ἀναδείξει τὸν βουλόμενον τοῦτο ποιῆσαι.

Διὸ Θεοφιλέστατε Δέσποτα, ἡ παροῦσα μου προσφώνησις εἰς ἄλλο οὐκ ἀποβλέπει, εἰμὴ ἵνα φανερώσῃ καὶ ἐμὲ ἕνα τῶν πολλῶν,

τῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

τῶν θαυμαζόντων τὰς τόσας ψυχικὰς Αὐτῆς ἀρετὰς, ἃς κηρύττει ȣ̓ μόνον τὸ εὐτυχὲς Αὐτῆς πνευματικὸν ποίμνιον, ἀλλὰ ϗ πᾶσα ἡ Ἑλλάς.

Δεχθέιτω τοιγαρȣ̃ν ἡ Θεοφιλεϛάτη Αὐτῆς ψυχὴ ταύτην μȣ τὴν ὁμολογίαν, ϗ ἂς συναριθμήσῃ κάμὲ μεταξὺ τῶν εὐτελῶν Αὐτῆς δȣ́λων, ϗ ὑποδεξαμένη φιλοφρόνως τὸ πρὸς Αὐτὴν ὑπερβάλλον μȣ σέβας, ἂς μὲ ἀντιβραβεύσῃ τὰς θεοπειθεῖς Αὐτῆς εὐχὰς ϗ εὐλογίας, αἵτινες εἴησάν μοι διὰ βίȣ σκέπη ϗ φυλακτήριον.

Τῆς Ὑμετέρας Θεοφιλεϛάτης Θεοφιλίας

Βιέννα· αψιγ΄. Φευρȣαρίȣ ά.

ὑποκλινέϛατος ϗ ἐλάχιϛος
δȣ̃λος ϗ υἱὸς

Κωνϛαντῖνος
Κȣσκȣρέλης.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΔΑΒΙ'Δ

## ΠΡΟΦΗ'ΤΟΥ

ΚΑῚ ΒΑΣΙΛΕ'ΩΣ ΜΕ'ΛΟΣ.

### ΚΑ'ΘΙΣΜΑ ΠΡΩ͂ΤΟΝ.

ΨΑΛΜῸΣ Τῼ͂ ΔΑΒΙ'Δ,

Ἀνεπίγραφος παρ' Ἑβραίοις. α'. 1.

Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν.

Ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας, καὶ νυκτός.

Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ. Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ, κατευοδωθήσεται.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μυλεών

Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως· ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.

Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.

Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. β'. 2.

Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;

Παρέστησαν οἱ Βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.

Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.

Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.

Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.

Ἐγὼ δὲ κατεστάθην Βασιλεὺς ὑπ' αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ Ἅγιον αὐτοῦ· διαγγέλλων τὸ πρόσταγμα Κυρίου.

Κύριος εἶπε πρός με· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.

Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου, τὰ πέρατα τῆς γῆς.

Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς.

Καὶ νῦν Βασιλεῖς σύνετε· παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν.

Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.

Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.

Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

## ΨΑΛΜΟ'Σ ΤΩ͂ ΔΑΒΙ'Δ.

*Ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπȣ Ἀβεσαλὼμ τȣ͂ Υἱȣ͂ αὐτȣ͂ ἐν τῇ ἐρήμῳ, γ΄. 3.*

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίςανται ἐπ᾽ ἐμέ.
Πολλοὶ λέγȣσι τῇ ψυχῇ μȣ, ȣ̓κ ἔςι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτȣ͂.
Σὺ δὲ Κύριε ἀντιλήπτωρ μȣ εἶ, δόξα μȣ, ϗ ὑψῶν τὴν κεφαλήν μȣ.
Φωνῇ μȣ πρὸς Κύριον ἐκέκραξα, ϗ ἐπήκȣσέ μȣ ἐξ ὄρȣς ἁγίȣ αὐτȣ͂.
Ἐγὼ δὲ ἐκοιμήθην, ϗ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μȣ.
Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαȣ͂, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.
Ἀνάςα Κύριε, σῶσόν με ὁ Θεός μȣ· ὅτι σὺ ἐπάταξας πάντας τȣ̀ς ἐχθραίνοντάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν συνέτριψας.
Τȣ͂ Κυρίȣ ἡ σωτηρία, ϗ ἐπὶ τὸν λαόν σȣ ἡ εὐλογία σȣ.

Δόξα, ϗ νῦν Ἀλληλȣΐα.

*Εἰς τὸ τέλος, ἐν Ὕμνοις.*

## ΨΑΛΜΟ'Σ ΤΩ͂ ΔΑΒΙ'Δ. δ΄. 4.

Ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκȣσάς μȣ ὁ Θεὸς τῆς δικαιοσύνης μȣ, ἐν θλίψει ἐπλάτυνάς με.
Οἰκτείρησόν με, ϗ εἰσάκȣσον τῆς προσευχῆς μȣ.
Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, ϗ ζητεῖτε ψεῦδος;
Καὶ γνῶτε, ὅτι ἐθαυμάςωσε Κύριος τὸν ὅσιον αὐτȣ͂. Κύριος εἰσακȣ́σεταί μȣ ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.
Ὀργίζεσθε, ϗ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.
Θύσατε θυσίαν δικαιοσύνης, ϗ ἐλπίσατε ἐπὶ Κύριον. Πολλοὶ λέγȣσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά;
Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τȣ͂ προσώπȣ σȣ Κύριε· ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μȣ.
Ἀπὸ καρπȣ͂ σίτȣ, οἴνȣ, ϗ ἐλαίȣ αὐτῶν ἐπληθύνθησαν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, ϗ ὑπνώσω.
Ὅτι σὺ Κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

Εἰς τὸ τέλος, ἐν Ὕμνοις ὑπὲρ τῆς Κληρονομέσης.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. ε. 5.

Τὰ ῥήματά με ἐνώτισαι Κύριε, σύνες τῆς κραυγῆς με.
Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς με, ὁ Βασιλεύς με, ϗ ὁ Θεός με.
Ὅτι πρὸς σὲ προσεύξομαι Κύριε· τὸ πρωῒ εἰσακέσῃ τῆς φωνῆς με.
Τὸ πρωῒ παραςήσομαί σοι, ϗ ἐπόψει με· ὅτι ἐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ.
Οὐ παροικήσει σοι πονηρευόμενος, ἐδὲ διαμενἔσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σε.
Ἐμίσησας πάντας τὲς ἐργαζομένες τὴν ἀνομίαν· ἀπολεῖς πάντας τὲς λαλἔντας τὸ ψεῦδος.
Ἄνδρα αἱμάτων ϗ δόλιον βδελύσσεται Κύριος. ἐγὼ δὲ ἐν τῷ πλήθει τἕ ἐλέες σε εἰσελεύσομαι εἰς τὸν οἶκόν σε, προσκυνήσω πρὸς ναὸν ἅγιόν σε ἐν φόβῳ σε.
Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σε, ἕνεκα τῶν ἐχθρῶν με κατεύθυνον ἐνώπιόν σε τὴν ὁδόν με.
Ὅτι ἐκ ἔςιν ἐν τῷ ςόματι αὐτῶν ἀλήθεια. Ἡ καρδία αὐτῶν ματαία.
Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιἕσαν· κρῖνον αὐτὲς ὁ Θεός.
Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβελιῶν αὐτῶν· κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτὲς, ὅτι παρεπίκρανάν σε Κύριε.
Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ. Εἰς αἰῶνα ἀγαλλιάσονται, ϗ κατασκηνώσεις ἐν αὐτοῖς, ϗ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σε.
Ὅτι σὺ εὐλογήσεις δίκαιον Κύριε. Ὡς ὅπλῳ εὐδοκίας ἐςεφάνωσας ἡμᾶς.

Εἰς τὸ τέλος ἐν Ὕμνοις, ὑπὲρ τῆς Ὀγδόης.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. ς. 6.

Κύριε, μὴ τῷ θυμῷ σε ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σε παιδεύσῃς με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. Καὶ σὺ Κύριε ἕως πότε;

Ἐπίστρεψον Κύριε, ῥῦσαι τὴν ψυχήν μου. Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;

Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

Ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.

Ἤκουσε Κύριος τῆς δεήσεώς μου. Κύριος τὴν προσευχήν μου προσεδέξατο.

Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου. Ἀποστραφείησαν, καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

Δόξα, καὶ νῦν, ἀλληλούϊα.

## ΨΑΛΜΟ'Σ ΤΩ͂' ΔΑΒΙ'Δ.

Ὃν ᾖσε τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Γεμενεῖ ζ. 7.

Κύριε ὁ Θεός μου ἐπὶ σοὶ ἤλπισα, σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με.

Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου, μὴ δὲ σῴζοντος.

Κύριε ὁ Θεός μου εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου.

Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός.

Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνῶσαι.

Ἀνάστηθι Κύριε ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου.

Καὶ ἐξεγέρθητι Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε.

Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον. Κύριος κρινεῖ λαούς.

Κρῖνόν μοι Κύριε κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ᾽ ἐμοί.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον, ἐτάζων καρδίας καὶ νεφρὲς ὁ Θεὸς δικαίως.
Ἡ βοήθειά με παρὰ τε Θεε, τε σώζοντος τὲς εὐθεῖς τῇ καρδίᾳ.
Ὁ Θεὸς Κριτὴς δίκαιος, καὶ ἰχυρὸς, καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάςην ἡμέραν.
Ἐὰν μὴ ἐπιςραφῆτε, τὴν ῥομφαίαν αὐτε ςιλβώσει· τὸ τόξον αὐτε ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό.
Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτε. Τὰ βέλη αὐτε τοῖς καιομένοις ἐξειργάσατο.
Ἰδὲ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν.
Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο.
Ἐπιςρέψει ὁ πόνος αὐτε εἰς κεφαλὴν αὐτε, καὶ ἐπὶ κορυφὴν αὐτε ἡ ἀδικία αὐτε καταβήσεται.
Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτε, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίε τε ὑψίςε.

Εἰς τὸ τέλος. Ὑπὲρ τῶν Ληνῶν.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. η. 8.

Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαςὸν τὸ ὄνομά σε ἐν πάσῃ τῇ γῇ.
Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σε ὑπεράνω τῶν ἐρανῶν.
Ἐκ ςόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον, ἕνεκα τῶν ἐχθρῶν σε, τε καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.
Ὅτι ὄψομαι τὲς ἐρανὲς, ἔργα τῶν δακτύλων σε, σελήνην καὶ ἀςέρας, ἃ σὺ ἐθεμελίωσας.
Τί ἐςιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτε, ἢ υἱὸς ἀνθρώπε, ὅτι ἐπισκέπτῃ αὐτόν;
Ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ Ἀγγέλες· δόξῃ καὶ τιμῇ ἐςεφάνωσας αὐτὸν, καὶ κατέςησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σε.
Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτε, πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τε πεδίε.
Τὰ πετεινὰ τε ἐρανε, καὶ τὲς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβες θαλασσῶν.
Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαςὸν τὸ ὄνομά σε ἐν πάσῃ τῇ γῇ.

Δόξα· καὶ νῦν ἀλληλέϊα

Δημόσια Βιβλιοθήκη Μηλεών

Τρι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Τρισάγιον, Παναγία Τριὰς, τὸ Πάτερ ἡμῶν, καὶ τὰ τροπάρια. Ἦχος α΄.

Ἐν ἀνομίαις συλληφθεὶς ἐγὼ ὁ ἄσωτος, οὐ τολμῶ ἀτενίσαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ. ἀλλὰ θαῤῥῶν εἰς τὴν φιλανθρωπίαν σου κράζω, ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ σῶσόν με.

Εἰ ὁ δίκαιος μόλις σώζεται, ἐγὼ ποῦ φανοῦμαι ὁ ἁμαρτωλός; τὸ βάρος καὶ τὸν καύσωνα τῆς ἡμέρας οὐκ ἐβάστασα, τοῖς περὶ τὴν ἑνδεκάτην ὥραν συναρίθμησόν με ὁ Θεὸς καὶ σῶσόν με. Δόξα.

Ἀγκάλας πατρικὰς διανοῖξαί μοι σπεῦσον, ἀσώτως τὸν ἐμὸν κατηνάλωσα βίον· εἰς πλοῦτον ἀδαπάνητον ἀφορῶν τῶν οἰκτιρμῶν σου Σωτήρ· νῦν πτωχεύουσαν μὴ ὑπερίδῃς καρδίαν· σοὶ γὰρ Κύριε ἐν κατανύξει κραυγάζω, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου. Καὶ νῦν.

Ἐλπὶς Χριστιανῶν Παναγία Παρθένε, ὃν ἔτεκες Θεὸν ὑπὲρ νοῦν τε, καὶ λόγον, ἀπαύστως ἱκέτευε σὺν ταῖς ἄνω δυνάμεσι, δοῦναι ἄφεσιν ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν βίου τοῖς πίστει καὶ πόθῳ, ἀεὶ σὲ γεραίρουσι.

Τὸ Κύριε ἐλέησον μ΄. καὶ ἡ εὐχή.

Δέσποτα παντοκράτωρ, ἀκατάληπτε, ἡ ἀρχίφωτος, καὶ ἀπερινόητος δύναμις, ὁ τῆς ἐνυποστάτου οὐσίας πατὴρ, καὶ τοῦ ὁμοδυνάμου σου πνεύματος προβολεὺς, ὁ διὰ σπλάγχνα ἐλέους, καὶ ἄφατον ἀγαθότητα, μὴ παριδὼν τὴν τῶν ἀνθρώπων φύσιν τῷ σκότει τῆς ἁμαρτίας συνεχομένην, ἀλλὰ τὰ θεῖα φῶτα τῶν ἱερῶν σου διδαγμάτων διὰ νόμου καὶ Προφητῶν λάμψας τῷ κόσμῳ, ὕστερον δὲ ἡμῖν αὐτὸν τὸν μονογενῆ σου Υἱὸν εὐδοκήσας διὰ σαρκὸς ἀνατεῖλαι καὶ πρὸς τὴν ἔλλαμψιν ἡμᾶς τοῦ σοῦ φωτισμοῦ ὁδηγῆσαι· γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεως ἡμῶν. Καὶ δώρησαι ἡμῖν ὁ Θεὸς ἐν ἀγρύπνῳ καὶ νηφούσῃ καρδίᾳ, πᾶσαν τὴν τοῦ παρόντος βίου νύκτα, ἡμᾶς διελθεῖν, ἐκδεχομένους τὴν παρουσίαν τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ ἡμῶν τοῦ κριτοῦ τῶν ἁπάντων, μὴ ἀναπεπτωκότες καὶ ὑπνοῦντες, ἀλλ᾽ ἐγρηγορότες καὶ διεγηγερμένοι ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν αὐτοῦ εὑρεθῶμεν, καὶ εἰς τὴν χαρὰν αὐτοῦ συνεισέλθωμεν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος, ὁ ἀκατάπαυστος, καὶ ἡ ἀνέκφραστος ἡδονὴ, τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄῤῥητον. Ὅτι σὺ ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑΘΙΣΜΑ ΔΕΥΤΕΡΟΝ.

Εἰς τὸ τέλος. Ὑπὲρ τῶν Κρυφίων τοῦ Υἱοῦ.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. θ'. 9.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Εὐφρανθήσομαι, καὶ ἀγαλλιάσομαι ἐν σοί. ψαλῶ τῷ ὀνόματί σου ὕψιστε.

Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσι, καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.

Ὅτι ἐποίησας τὴν κρίσιν μου, καὶ τὴν δίκην μου, ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην.

Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής. Τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες.

Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου, καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει.

Ἡτοίμασας ἐν κρίσει τὸν θρόνον αὐτοῦ, καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι.

Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσι.

Καὶ ἐλπισάτωσαν ἐπὶ σοὶ οἱ γινώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε Κύριε.

Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών, ἀναγγέλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ.

Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη, οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων.

Ἐλέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐλέησόν με Κύριε, ἴδε τὴν ταπείνωσίν με ἐκ τῶν ἐχθρῶν με.
Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τε θανάτε, ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σε, ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.
Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σε. ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν.
Ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήφθη ὁ πὲς αὐτῶν.
Γινώσκεται Κύριος κρίματα ποιῶν. ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτε συνελήφθη ὁ ἁμαρτωλός.
Ἀποςραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τε Θεε.
Ὅτι ἐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός. ἡ ὑπομονὴ τῶν πενήτων ἐκ ἀπολεῖται εἰς τέλος.
Ἀνάςηθι Κύριε, μὴ κραταιέσθω ἄνθρωπος· κριθήτωσαν ἔθνη ἐνώπιόν σε.
Κατάςησον Κύριε νομοθέτην ἐπ᾽ αὐτές· γνώτωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσιν.
Ἵνα τί Κύριε ἀφέςηκας μακρόθεν; ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν;
Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχός. συλλαμβάνονται ἐν διαβελίοις, οἷς διαλογίζονται.
Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτε, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται.
Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός· κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτε ἐκ ἐκζητήσει.
Οὐκ ἔςιν ὁ Θεὸς ἐνώπιον αὐτε. βεβηλεῦνται αἱ ὁδοὶ αὐτε, ἐν παντὶ καιρῷ.
Ἀνταναιρεῖται τὰ κρίματά σε ἀπὸ προσώπε αὐτε, πάντων τῶν ἐχθρῶν αὐτε κατακυριεύσει.
Εἶπε γὰρ ἐν καρδίᾳ αὐτε, ἐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακε.
Οὗ ἀρᾶς τὸ ςόμα αὐτε γέμει, καὶ πικρίας καὶ δόλε, ὑπὸ τὴν γλῶσσαν αὐτε κόπος, καὶ πόνος.
Ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλεσίων, ἐν ἀποκρύφοις τε ἀποκτεῖναι ἀθῶον.
Οἱ ὀφθαλμοὶ αὐτε εἰς τὸν πένητα ἀποβλέπεσιν, ἐνεδρεύει ἐν ἀποκρύφῳ, ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτε.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐνεδρεύει τȣ̃ ἁρπάσαι πτωχὸν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν.

Ἐν τῇ παγίδι αὐτȣ̃ ταπεινώσει αὐτόν. κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.

Εἶπε γὰρ ἐν καρδίᾳ αὐτȣ̃· ἐπιλέλησαι ὁ Θεὸς, ἀπέςρεψε τὸ πρόσωπον αὐτȣ̃, τȣ̃ μὴ βλέπειν εἰς τέλος.

Ἀνάςηθι Κύριε ὁ Θεός μȣ, ὑψωθήτω ἡ χείρ σȣ, μὴ ἐπιλάθῃ τῶν πενήτων σȣ εἰς τέλος.

Ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτȣ̃, ȣ̓κ ἐκζητήσει.

Βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τȣ̃ παραδȣ̃ναι αὐτὸν εἰς χεῖράς σȣ.

Σοὶ ἐγκαταλέλειπται ὁ πτωχὸς, ὀρφανῷ σὺ ἦσθα βοηθός.

Σύντριψον τὸν βραχίονα τȣ̃ ἁμαρτωλȣ̃ καὶ πονηρȣ̃, ζητηθήσεται ἡ ἁμαρτία αὐτȣ̃, καὶ ȣ̓ μὴ εὑρεθῇ.

Κύριος Βασιλεὺς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τȣ̃ αἰῶνος. ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτȣ̃.

Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκȣσας Κύριε, τῇ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῶν προσέσχε τὸ ȣ̓̃ς σȣ.

Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι τȣ̃ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

Εἰς τὸ τέλος.

## ΨΑΛΜΟΣ ΤΩ͂ ΔΑΒΙΔ. Ι. 10.

Ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μȣ, μεταναςεύȣ ἐπὶ τὰ ὄρη ὡς ςρȣθίον;

Ὅτι ἰδȣ̀ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν, τȣ̃ κατατοξεῦσαι ἐν σκοτομήνῃ τȣ̀ς εὐθεῖς τῇ καρδίᾳ.

Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον. ὁ δὲ δίκαιος τί ἐποίησε;

Κύριος ἐν ναῷ ἁγίῳ αὐτȣ̃. Κύριος ἐν ȣ̓ρανῷ ὁ θρόνος αὐτȣ̃.

Οἱ ὀφθαλμοὶ αὐτȣ̃ εἰς τὸν πένητα ἐπιβλέπȣσι. τὰ βλέφαρα αὐτȣ̃ ἐξετάζει τȣ̀ς Υἱȣ̀ς τῶν ἀνθρώπων.

Κύριος ἐξετάζει τὸν δίκαιον, καὶ τὸν ἀσεβῆ. ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτȣ̃ ψυχήν.

Τȣ̀ς

Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἐπιβρέξει ἐπὶ ἁμαρτωλὲς παγίδας, πῦρ, ϗ θεῖον, ϗ πνεῦμα καταιγίδος, ἡ μερὶς τῆ ποτηρίε αὐτῶν.

Ὅτι δίκαιος Κύριος, ϗ δικαιοσύνας ἠγάπησεν. εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτῆ.

Δόξα, καὶ νῦν Ἀλληλούϊα.

Εἰς τὸ τέλος. Ὑπὲρ τῆς Ὀγδόης.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. ια. 11.

Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν Υἱῶν τῶν ἀνθρώπων.

Μάταια ἐλάλησεν ἕκαςος πρὸς τὸν πλησίον αὐτῆ. χείλη δόλια ἐν καρδίᾳ, ϗ ἐν καρδίᾳ ἐλάλησε κακά.

Ἐξολοθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλοῤῥήμονα.

Τὲς εἰπόντας, τὴν γλῶσσαν ἡμῶν μεγαλυνῆμεν. τὰ χείλη ἡμῶν παῤ ἡμῖν ἐςι. τίς ἡμῶν Κύριός ἐςιν;

Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, ϗ τῆ ςεναγμῆ τῶν πενήτων, νῦν ἀναςήσομαι, λέγει Κύριος·

Θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ.

Τὰ λόγια Κυρίε, λόγια ἁγνά. Ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως.

Σὺ Κύριε φυλάξαις ἡμᾶς, ϗ διατηρήσαις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, ϗ εἰς τὸν αἰῶνα.

Κύκλῳ οἱ ἀσεβεῖς περιπατῆσι, κατὰ τὸ ὕψος σε ἐπολυώρησας τὲς Υἱὲς τῶν ἀνθρώπων.

Εἰς τὸ τέλος.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. ιβ. 12.

Ἕως πότε Κύριε ἐπιλήσῃ με εἰς τέλος; ἕως πότε ἀποςρέφεις τὸ πρόσωπόν σε ἀπ' ἐμῆ;

Ἕως τίνος θήσομαι βελὰς ἐν ψυχῇ με, ὀδύνας ἐν καρδίᾳ με ἡμέρας ϗ νυκτός;

Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός με ἐπ' ἐμέ; Ἐπίβλεψον, εἰσάκεσόν με Κύριε ὁ Θεός με.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον. μήποτε εἴπῃ ὁ ἐχθρός μου, ἴσχυσα πρὸς αὐτόν.

Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ. ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα.

Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου. ᾄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

Εἰς τὸ τέλος.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. ιγ΄. 13.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός.

Διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν. οὐκ ἔστι ποιῶν χρηστότητα.

Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς Υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν ἢ ἐκζητῶν τὸν Θεόν.

Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.

Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου;

Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο. Ἐκεῖ ἐδειλίασαν φόβον, οὗ οὐκ ἦν φόβος.

Ὅτι Κύριος ἐν γενεᾷ δικαίων. βουλὴν πτωχοῦ κατῃσχύνατε, ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστι.

Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακώβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.

*Δόξα, καὶ νῦν, Ἀλληλούϊα.*

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. ιδ΄. 14.

Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου, ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου;

Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην.

Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ· ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ.

Καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακὸν, καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοῖς ἔγγιστα αὐτοῦ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει.

Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ, καὶ οὐκ ἀθετῶν, τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ' ἀθώοις οὐκ ἔλαβεν.

Ὁ ποιῶν ταῦτα, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

## ΣΤΗΛΟΓΡΑΦΙΑ ΤΩ ΔΑΒΙΔ. ιε΄. 15.

Φύλαξόν με Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα. εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σὺ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν.

Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.

Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου, σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου, ἐμοί.

Σχοινία ἐπέπεσέ μοι ἐν τοῖς κρατίστοις μου, καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοι ἐστίν.

Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με, ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.

Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.

Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι.

Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.

Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου· τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

## ΠΡΟΣΕΥΧΗ ΤΩ ΔΑΒΙΔ. ις΄. 16.

Εἰσάκουσον Κύριε δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου.

Ἐνώτισαι τὴν προσευχήν μου, οὐκ ἐν χείλεσι δολίοις.

Ἐκ προσώπου σου τὸ κρῖμά μου ἐξέλθοι, οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐδο-

Ἐδοκίμασας τὴν καρδίαν με, ἐπεσκέψω νυκτός. ἐπύρωσάς με, ϗ ἐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.

Ὅπως ἂν μὴ λαλήσῃ τὸ ςόμα με τὰ ἔργα τῶν ἀνθρώπων, διὰ τὲς λόγες τῶν χειλέων σε ἐγὼ ἐφύλαξα ὁδὲς σκληράς.

Κατάρτισαι τὰ διαβήματά με ἐν ταῖς τρίβοις σε, ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά με.

Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκεσάς με ὁ Θεὸς, κλῖνον τὸ ἒς σε ἐμοὶ, ϗ εἰσάκεσον τῶν ῥημάτων με.

Θαυμάςωσον τὰ ἐλέη σε, ὁ σώζων τὲς ἐλπίζοντας ἐπὶ σὲ, ἐκ τῶν ἀνθεςηκότων τῇ δεξιᾷ σε, φύλαξόν με Κύριε ὡς κόρην ὀφθαλμῦ.

Ἐν σκέπῃ τῶν πτερύγων σε σκεπάσεις με, ἀπὸ προσώπε ἀσεβῶν τῶν ταλαιπωρησάντων με.

Οἱ ἐχθροί με τὴν ψυχήν με περιέσχον. Τὸ ςέαρ αὐτῶν συνέκλεισαν, τὸ ςόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.

Ἐκβάλλοντές με νυνὶ περιεκύκλωσάν με. Τὲς ὀφθαλμὲς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.

Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν, ϗ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.

Ἀνάςηθι Κύριε, πρόφθασον αὐτὲς, ϗ ὑποσκέλισον αὐτές. Ῥῦσαι τὴν ψυχήν με ἀπὸ ἀσεβῆς ῥομφαίας σε, ἀπὸ ἐχθρῶν τῆς χειρός σε.

Κύριε ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτὲς ἐν τῇ ζωῇ αὐτῶν, ϗ τῶν κεκρυμμένων σε ἐπλήσθη ἡ γαςὴρ αὐτῶν.

Ἐχορτάσθησαν υἱῶν, ϗ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.

Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σε, χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σε.

Δόξα, ϗ νῦν· Ἀλληλεΐα.

Τὸ Τρισάγιον, ϗ τὰ Τροπάρια. ἦχος β'.

Ἐγὼ ὑπάρχω τὸ δένδρον τὸ ἄκαρπον Κύριε, κατανύξεως καρπὸν μὴ φέρων τὸ σύνολον, ϗ τὴν ἐκκοπὴν πτοῦμαι, ϗ τὸ πῦρ ἐκεῖνο δειλιῶ τὸ ἀκοίμητον. διό σε ἱκετεύω πρὸ ἐκείνης τῆς ἀνάγκης ἐπίςρεψον ϗ σῶσόν με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠ κύματα θαλάσσης ἐπ' ἐμὲ ἐπανέστησαν αἱ ἀνομίαι μου. ὡς σκάφος ἐν πελάγει, ἐγὼ μόνος χειμάζομαι ὑπὸ πταισμάτων πολλῶν, ἀλλ' εἰς εὔδιον λιμένα ὁδήγησόν με Κύριε τῇ μετανοίᾳ, καὶ σῶσόν με.

Δόξα.

Ἐλέησόν με, εἶπεν ὁ Δαβίδ, κἀγὼ σοι κράζω, ἥμαρτον σωτήρ, τὰς ἐμὰς ἁμαρτίας ἐξαλείψας διὰ τῆς μετανοίας καὶ ἐλέησόν με.

Καὶ νῦν.

Προστασία θερμὴ Χριστιανῶν, τὸν Υἱόν σου ἱκέτευε Θεοτόκε, πάσης κακεργίας καὶ δεινότητος, ῥύσασθαι ἡμᾶς τοῦ πολεμήτορος, καὶ δοῦναι συγχώρησιν ἡμῖν ὧν ἡμάρτομεν, διὰ σπλάγχνα οἰκτιρμῶν ταῖς σαῖς ἱκεσίαις μητροπάρθενε.

Τὸ Κύριε ἐλέησον 'μ καὶ ἡ εὐχή.

Δέσποτα παντοκράτωρ, ὁ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς σου Υἱοῦ, δός μοι σῶμα ἄσπιλον, καρδίαν καθαράν, νοῦν γρήγορον, γνῶσιν ἀπλανῆ, πνεύματος ἁγίου ἐπιφοίτησιν, πρὸς κτῆσιν καὶ πληροφορίαν τῆς ἀληθείας τῆς ἐν Χριστῷ σου, μεθ' οὗ σοι δόξα πρέπει, τιμή, καὶ προσκύνησις σὺν τῷ ἁγίῳ Πνεύματι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ ΤΡΙ'ΤΟΝ.

Εἰς τὸ τέλος. Τῷ παιδὶ Κυρίου τῷ Δαβίδ. Ἃ ἐλάλησε τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης, ἐν ἡμέρᾳ, ᾗ ἐῤῥύσατο αὐτὸν ὁ Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαούλ, καὶ εἶπεν.

## ΨΑΛΜΟ'Σ ΤΩ͂ ΔΑΒΙ'Δ. ιζ. 17.

Ἀγαπήσω σε Κύριε ἡ ἰσχύς μου. Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου.
Ὁ Θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ᾿ αὐτόν.
Ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου.
Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.
Περιέσχον με ὠδῖνες θανάτου, καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με.
Ὠδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με παγίδες θανάτου.
Καὶ ἐν τῷ θλίβεσθαί με, ἐπεκαλεσάμην τὸν Κύριον, καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα.
Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ, εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.
Καὶ ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν, καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός.
Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγήσεται. Ἄνθρακες ἀνήφθησαν ἀπ᾿ αὐτοῦ.
Καὶ ἔκλινεν Οὐρανούς. καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.
Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ, καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.
Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.
Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον, χάλαζα καὶ ἄνθρακες πυρός.

Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ ἐβρόντησεν ἐξ Οὐρανȣ͂ ὁ Κύριος, ϗ ὁ Ὕψιςος ἔδωκε φωνὴν αὐτȣ͂.

Ἐξαπέςειλε βέλη, ϗ ἐσκόρπισεν αὐτȣ́ς. ϗ ἀςραπὰς ἐπλήθυνε, ϗ συνετάραξεν αὐτȣ́ς.

Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, ϗ ἀνεκαλύφθη τὰ θεμέλια τῆς Οἰκȣμένης.

Ἀπὸ ἐπιτιμήσεώς σȣ Κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σȣ.

Ἐξαπέςειλεν ἐξ ὕψȣς ϗ ἔλαβέ με. προσελάβετό με ἐξ ὑδάτων πολλῶν.

Ῥύσεταί με ἐξ ἐχθρῶν μȣ δυνατῶν, ϗ ἐκ τῶν μισȣ́ντων με, ὅτι ἐςερεώθησαν ὑπὲρ ἐμέ.

Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μȣ, ϗ ἐγένετο Κύριος ἀντιςήριγμά μȣ.

Καὶ ἐξήγαγέ με εἰς πλατυσμόν. Ῥύσεταί με, ὅτι ἠθέλησέ με.

Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μȣ, ϗ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μȣ ἀνταποδώσει μοι.

Ὅτι ἐφύλαξα τὰς ὁδȣ̀ς Κυρίȣ, ϗ ȣ̓κ ἠσέβησα ἀπὸ τȣ͂ Θεȣ͂ μȣ.

Ὅτι πάντα τὰ κρίματα αὐτȣ͂ ἐνώπιόν μȣ, ϗ τὰ δικαιώματα αὐτȣ͂ ȣ̓κ ἀπέςησαν ἀπ' ἐμȣ͂.

Καὶ ἔσομαι ἄμωμος μετ' αὐτȣ͂, ϗ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μȣ.

Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μȣ, ϗ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μȣ, ἐνώπιον τῶν ὀφθαλμῶν αὐτȣ͂.

Μετὰ ὁσίȣ, ὅσιος ἔσῃ, ϗ μετὰ ἀνδρὸς ἀθώȣ, ἀθῶος ἔσῃ.

Καὶ μετὰ ἐκλεκτȣ͂, ἐκλεκτὸς ἔσῃ, ϗ μετὰ ςρεβλȣ͂ διαςρέψεις.

Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, ϗ ὀφθαλμȣ̀ς ὑπερηφάνων ταπεινώσεις.

Ὅτι σὺ φωτιεῖς λύχνον μȣ, Κύριε ὁ Θεός μȣ, φωτιεῖς τὸ σκότος μȣ.

Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίȣ, ϗ ἐν τῷ Θεῷ μȣ ὑπερβήσομαι τεῖχος.

Ὁ Θεός μȣ, ἄμωμος ἡ ὁδὸς αὐτȣ͂. Τὰ λόγια Κυρίȣ πεπυρωμένα. Ὑπερασπιςής ἐςι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν.

Ὅτι τίς Θεὸς πάρεξ τȣ͂ Κυρίȣ; ἢ τίς Θεὸς πλὴν τȣ͂ Θεȣ͂ ἡμῶν;

Ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν, ϗ ἔθετο ἄμωμον τὴν ὁδόν μȣ.

Καταρτιζόμενος τȣ̀ς πόδας μȣ ὡσεὶ ἐλάφȣ, ϗ ἐπὶ τὰ ὑψηλὰ ἱςῶν με.

Διδάσκων χεῖράς μȣ εἰς πόλεμον, ϗ ἔθȣ τόξον χαλκȣ͂ν τȣ̀ς βραχίονάς μȣ.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας, ϗ ἡ δεξιά σε ἀντελάβετό με.
Καὶ ἡ παιδεία σε ἀνώρθωσέ με εἰς τέλος, ϗ ἡ παιδεία σε αὐτή με διδάξει.
Ἐπλάτυνας τὰ διαβήματά με ὑποκάτω με, ϗ ἐκ ἠσθένησε τὰ ἴχνη με.
Καταδιώξω τὲς ἐχθρές με, ϗ καταλήψομαι αὐτὲς, ϗ ἐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλείπωσιν.
Ἐκθλίψω αὐτὲς, ϗ ἐ μὴ δύνωνται στῆναι. Πεσεῦνται ὑπὸ τὲς πόδας με.
Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον. Συνεπόδισας πάντας τὲς ἐπανισταμένες ἐπ' ἐμὲ ὑποκάτω με.
Καὶ τὲς ἐχθρές με ἔδωκάς μοι νῶτον, ϗ τὲς μισεῦντας με ἐξωλόθρευσας.
Ἐκέκραξαν, ϗ ἐκ ἦν ὁ σώζων, πρὸς Κύριον, ϗ ἐκ εἰσήκεσεν αὐτῶν.
Καὶ λεπτυνῶ αὐτὲς ὡσεὶ χνεῦν κατὰ πρόσωπον ἀνέμε. Ὡς πηλὸν πλατειῶν λεανῶ αὐτές.
Ῥῦσαί με ἐξ ἀντιλογίας λαε, καταστήσεις με εἰς κεφαλὴν Ἐθνῶν.
Λαὸς ὃν ἐκ ἔγνων, ἐδέλευσέ μοι, εἰς ἀκοὴν ὠτίε ὑπήκεσέ με.
Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, ϗ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.
Ζῆ Κύριος ϗ εὐλογητὸς ὁ Θεὸς, ϗ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας με.
Ὁ Θεὸς ὁ διδὲς ἐκδικήσεις ἐμοὶ, ϗ ὑποτάξας λαὲς ὑπ' ἐμὲ, ὁ ῥύστης με ἐξ ἐχθρῶν με ὀργίλων.
Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με, ἀπὸ ἀνδρὸς ἀδίκε ῥῦσαί με.
Διὰ τἕτο ἐξομολογήσομαί σοι ἐν Ἔθνεσι Κύριε, ϗ τῷ ὀνόματί σε ψαλῶ.
Μεγαλύνων τὰς σωτηρίας τε Βασιλέως, ϗ ποιῶν ἔλεος τῷ Χριστῷ αὐτε, τῷ Δαβὶδ, ϗ τῷ σπέρματι αὐτε ἕως αἰῶνος.

Δόξα, ϗ νῦν. ἀλληλεΐα.

Εἰς τὸ τέλος.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ ιη. 18.

Οἱ Οὐρανοὶ διηγεῦνται δόξαν Θεε, ποίησιν δὲ χειρῶν αὐτε ἀναγγέλλει τὸ στερέωμα.
Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, ϗ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.
Οὐκ εἰσὶ λαλιαὶ, ἐδὲ λόγοι, ὧν ἐχὶ ἀκέονται αἱ φωναὶ αὐτῶν.

Εἰς

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, ϗ εἰς τὰ πέρατα τῆς Οἰκȣμένης τὰ ῥήματα αὐτῶν.

Ἐν τῷ Ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτȣ῀, ϗ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ πας῀ȣ αὐτȣ῀.

Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν. ἀπ' ἄκρȣ τȣ῀ Οὐρανȣ῀ ἡ ἔξοδος αὐτȣ῀.

Καὶ τὸ κατάντημα αὐτȣ῀ ἕως ἄκρȣ τȣ῀ Οὐρανȣ῀. ϗ ἐκ ἔςιν ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτȣ῀.

Ὁ νόμος Κυρίȣ ἄμωμος, ἐπιςρέφων ψυχάς. Ἡ μαρτυρία Κυρίȣ πιςή, σοφίζȣσα νήπια.

Τὰ δικαιώματα Κυρίȣ εὐθέα, εὐφραίνοντα καρδίαν. Ἡ ἐντολὴ Κυρίȣ τηλαυγὴς, φωτίζȣσα ὀφθαλμȣ́ς.

Ὁ φόβος Κυρίȣ ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶνος. Τὰ κρίματα Κυρίȣ ἀληθινὰ, δεδικαιωμένα ἐπὶ τὸ αὐτό.

Ἐπιθυμητὰ ὑπὲρ χρυσίον, ϗ λίθον τίμιον πολὺν, ϗ γλυκύτερα ὑπὲρ μέλι, ϗ κηρίον.

Καὶ γὰρ ὁ δȣ῀λός σȣ φυλάσσει αὐτά. ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.

Παραπτώματα τίς συνήσει; Ἐκ τῶν κρυφίων μȣ καθάρισόν με, ϗ ἀπὸ ἀλλοτρίων φεῖσαι τȣ῀ δȣ́λȣ σȣ.

Ἐὰν μή μȣ κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι ϗ καθαριθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.

Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τȣ῀ ςόματός μȣ, ϗ ἡ μελέτη τῆς καρδίας μȣ, ἐνώπιόν σȣ διαπαντός.

Κύριε βοηθέ μȣ, ϗ λυτρωτά μȣ.

Εἰς τὸ τέλος.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. ιϛ'. 19.

Ἐπακȣ́σαι σȣ Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σȣ τὸ ὄνομα τȣ῀ Θεȣ῀ Ἰακώβ.

Ἐξαποςείλαι σοι βοήθειαν ἐξ ἁγίȣ. ϗ ἐκ Σιὼν ἀντιλάβοιτό σȣ.

Μνησθείη πάσης θυσίας σȣ, ϗ τὸ ὁλοκαύτωμά σȣ πιανάτω.

Δώῃ σοι Κύριος κατὰ τὴν καρδίαν σȣ, ϗ πᾶσαν τὴν βȣλήν σȣ πληρώσαι.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σȣ. ϗ ἐν ὀνόματι Κυρίȣ Θεȣ͂ ἡμῶν μεγαλυνθησόμεθα.

Πληρῶσαι Κύριος πάντα τὰ αἰτήματά σȣ. νῦν ἔγνων ὅτι, ἔσωσε Κύριος τὸν Χριςὸν αὐτȣ͂.

Ἐπακȣ́σεται αὐτȣ͂ ἐξ Οὐρανȣ͂ ἁγίȣ αὐτȣ͂. ἐν δυναςείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτȣ͂.

Οὗτοι ἐν ἅρμασι, ϗ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίȣ Θεȣ͂ ἡμῶν ἐπικαλεσόμεθα.

Αὐτοὶ συνεποδίσθησαν, ϗ ἔπεσον· ἡμεῖς δὲ ἀνέςημεν, ϗ ἀνωρθώθημεν.

Κύριε σῶσον τὸν Βασιλέα, ϗ ἐπάκȣσον ἡμῶν. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. κ'. 20.

Κύριε ἐν τῇ δυνάμει σȣ εὐφρανθήσεται ὁ Βασιλεὺς, ϗ ἐπὶ τῷ σωτηρίῳ σȣ ἀγαλλιάσεται σφόδρα.

Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτȣ͂ ἔδωκας αὐτῷ, ϗ τὴν θέλησιν τῶν χειλέων αὐτȣ͂ ȣ̓κ ἐςέρησας αὐτόν.

Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηςότητος. ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτȣ͂ ςέφανον ἐκ λίθȣ τιμίȣ.

Ζωὴν ᾐτήσατό σε, ϗ ἔδωκας μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.

Μεγάλη ἡ δόξα αὐτȣ͂ ἐν τῷ σωτηρίῳ σȣ, δόξαν ϗ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν.

Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος· εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τȣ͂ προσώπȣ σȣ.

Ὅτι ὁ Βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, ϗ ἐν τῷ ἐλέει τȣ͂ Ὑψίςȣ ȣ̓ μὴ σαλευθῇ.

Εὑρεθείη ἡ χείρ σȣ πᾶσι τοῖς ἐχθροῖς σȣ. Ἡ δεξιά σȣ εὕροι πάντας τȣ̀ς μισȣ͂ντάς σε.

Ὅτι θήσεις αὐτȣ̀ς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τȣ͂ προσώπȣ σȣ. Κύριος ἐν ὀργῇ αὐτȣ͂ συνταράξει αὐτȣ̀ς, ϗ καταφάγεται αὐτȣ̀ς πῦρ.

Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, ϗ τὸ σπέρμα αὐτῶν ἀπὸ Υἱῶν ἀνθρώπων.

Ὅτι ἔκλιναν εἰς σὲ κακὰ, διελογίσαντο βȣλὰς, αἷς ȣ̓ μὴ δύνωνται ςῆναι.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ο῞τι θήσεις αὐτὲς νῶτον, ἐν τοῖς περιλοίποις σε ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.

Υ῾ψώθητι Κύριε ἐν τῇ δυνάμει σε. ᾄσωμεν καὶ ψαλῶμεν τὰς δυναστείας σε.

Δόξα. καὶ νῦν Α᾽λληλέϊα.

Εἰς τὸ τέλος. Υ῾πὲρ τῆς ἀντιλήψεως τῆς Ε῾ωθινῆς.

## ΨΑΛΜΟ'Σ ΤΩ῀ι ΔΑΒΙ'Δ. κά. 21.

Ο῾ Θεὸς ὁ Θεός με πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; Μακρὰν ἀπὸ τῆς σωτηρίας με οἱ λόγοι τῶν παραπτωμάτων με.

Ο῾ Θεός με κεκράξομαι ἡμέρας, καὶ ἐκ εἰσακέσῃ· καὶ νυκτὸς, καὶ ἐκ εἰς ἄνοιαν ἐμοί.

Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τῦ Ι᾽σραήλ. ἐπὶ σοὶ ἤλπισαν οἱ Πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐῤῥύσω αὐτές.

Πρὸς σὲ ἐκέκραξαν, καὶ ἐσώθησαν, ἐπὶ σοὶ ἤλπισαν, καὶ ἐ κατῃσχύνθησαν.

Ε᾽γὼ δέ εἰμι σκώληξ, καὶ ἐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαῦ.

Πάντες οἱ θεωρῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν.

Η῎λπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν. σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν.

Ο῞τι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός· ἡ ἐλπίς με ἀπὸ μαστῶν τῆς μητρός με.

Ε᾽πὶ σὲ ἐπεῤῥίφην ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρός με Θεός με εἶ σύ. μὴ ἀποστῇς ἀπ᾽ ἐμῦ.

Ο῞τι θλίψις ἐγγὺς, ὅτι ἐκ ἔστιν ὁ βοηθῶν μοι.

Περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες περιέσχον με.

Η῎νοιξαν ἐπ᾽ ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος.

Ω῾σεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ με. ἐγενήθη ἡ καρδία με ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας με.

Ε᾽ξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς με, καὶ ἡ γλῶσσά με κεκόλληται τῷ λάρυγγί με, καὶ εἰς χῦν θανάτε κατήγαγές με.

Ο῞τι ἐκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ πονηρευομένων περιέσχόν με.

Ω῎ρυ-

Δημόσια Βιβλιοθήκη Μηλεών

Ωρυξαν χεῖράς μȣ ϗ πόδας μȣ, ἐξηρίθμησαν πάντα τὰ ὀςᾶ μȣ.
Αὐτοὶ δὲ κατενόησαν, ϗ ἐπεῖδόν με. Διεμερίσαντο τὰ ἱμάτιά μȣ ἑαυτοῖς, ϗ ἐπὶ τὸν ἱματισμόν μȣ ἔβαλον κλῆρον.
Σὺ δὲ Κύριε μὴ μακρύνῃς τὴν βοήθειάν σȣ ἀπ᾽ ἐμȣ͂, εἰς τὴν ἀντίληψίν μȣ πρόσχες.
Ρῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μȣ, ϗ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μȣ.
Σῶσόν με ἐκ ςόματος λέοντος, ϗ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μȣ.
Διηγήσομαι τὸ ὄνομά σȣ τοῖς ἀδελφοῖς μȣ, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.
Οἱ φοβȣ́μενοι τὸν Κύριον αἰνέσατε αὐτὸν, ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν.
Φοβηθήτω δὴ ἀπ᾽ αὐτȣ͂ ἅπαν τὸ σπέρμα Ἰσραήλ. Ὅτι ȣ̓κ ἐξȣδένωσεν, ȣ̓δὲ προσώχθισε τῇ δεήσει τȣ͂ πτωχȣ͂.
Οὐδὲ ἀπέςρεψε τὸ πρόσωπον αὐτȣ͂ ἀπ᾽ ἐμȣ͂. ϗ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν, εἰσήκȣσέ μȣ.
Παρὰ σȣ͂ ὁ ἔπαινός μȣ. ἐν Ἐκκλησίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι. Τὰς εὐχάς μȣ ἀποδώσω ἐνώπιον τῶν φοβȣμένων αὐτόν.
Φάγονται πένητες, ϗ ἐμπλησθήσονται· ϗ αἰνέσȣσι Κύριον οἱ ἐκζητȣ͂ντες αὐτόν. Ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.
Μνησθήσονται, ϗ ἐπιςραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς.
Καὶ προσκυνήσȣσιν ἐνώπιον αὐτȣ͂ πᾶσαι αἱ πατριαὶ τῶν Ἐθνῶν. Ὅτι τȣ͂ Κυρίȣ ἡ βασιλεία, ϗ αὐτὸς δεσπόζει τῶν Ἐθνῶν.
Ἔφαγον, ϗ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς. ἐνώπιον αὐτȣ͂ προπεσȣ͂νται πάντες οἱ καταβαίνοντες εἰς γῆν.
Καὶ ἡ ψυχή μȣ αὐτῷ ζῇ, ϗ τὸ σπέρμα μȣ δȣλεύσει αὐτῷ.
Αναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη. ϗ ἀναγγελȣ͂σι τὴν δικαιοσύνην αὐτȣ͂ Λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. κβ. 22.

Κύριος ποιμαίνει με, ϗ ȣ̓δέν με ὑςερήσει, εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν.
Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν ψυχήν μȣ ἐπέςρεψεν.

Ὡδη-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλέων

Ὡδήγησέ με ἐπὶ τρίβȣς δικαιοσύνης, ἕνεκεν τȣ̃ ὀνόματος αὐτȣ̃.
Ἐὰν γὰρ ϗ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτȣ, ȣ̓ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμȣ̃ εἶ.
Ἡ ῥάβδος σȣ, ϗ ἡ βακτηρία σȣ, αὗταί με παρεκάλεσαν.
Ἡτοίμασας ἐνώπιόν μȣ τράπεζαν, ἐξεναντίας τῶν θλιβόντων με.
Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μȣ, ϗ τὸ ποτήριόν σȣ μεθύσκον με ὡσεὶ κράτισον.
Καὶ τὸ ἔλεός σȣ καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μȣ.
Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίȣ εἰς μακρότητα ἡμερῶν.

## ΨΑΛΜΟ'Σ ΤΩ̃ι ΔΑΒΙ'Δ.

Τῆς μιᾶς τῶν Σαββάτων. κγ'. 23.

Τȣ̃ Κυρίȣ ἡ γῆ, ϗ τὸ πλήρωμα αὐτῆς. ἡ Οἰκȣμένη, ϗ πάντες οἱ κατοικȣ̃ντες ἐν αὐτῇ.
Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, ϗ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.
Τίς ἀναβήσεται εἰς τὸ ὄρος τȣ̃ Κυρίȣ, ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτȣ̃.
Ἀθῶος χερσὶ, ϗ καθαρὸς τῇ καρδίᾳ, ὃς ȣ̓κ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτȣ̃, ϗ ȣ̓κ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτȣ̃.
Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίȣ, ϗ ἐλεημοσύνην παρὰ Θεȣ̃ Σωτῆρος αὐτȣ̃.
Αὕτη ἡ γενεὰ ζητȣ́ντων τὸν Κύριον, ζητȣ́ντων τὸ πρόσωπον τȣ̃ Θεȣ̃ Ἰακώβ.
Ἄρατε πύλας οἱ Ἄρχοντες ὑμῶν, ϗ ἐπάρθητε πύλαι αἰώνιοι, ϗ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.
Τίς ἐστιν ȣ̃τος ὁ Βασιλεὺς τῆς δόξης, Κύριος κραταιὸς ϗ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ.
Ἄρατε πύλας οἱ Ἄρχοντες ὑμῶν, ϗ ἐπάρθητε πύλαι αἰώνιοι, ϗ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.
Τίς ἐστιν ȣ̃τος ὁ Βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

## Τὸ Τρισάγιον, καὶ τὰ Τροπάρια. ἦχος βʹ.

Παροικοῦσα ἐν τῇ γῇ ψυχή μου μετανόησον. χοῦς ἐν τάφῳ, οὐχ ὑμνεῖ. πταισμάτων οὐ λυτροῦται. βόησον Χριστῷ τῷ Θεῷ· καρδιογνῶστα ἥμαρτον, πρὶν καταδικάσῃς με, ἐλέησόν με.

Ἕως πότε ψυχή μου ἐπιμένεις τοῖς πταίσμασιν; ἕως τίνος λαμβάνεις μετανοίας ὑπέρθεσιν; λάβε κατὰ νοῦν τὴν κρίσιν τὴν μέλλουσαν, καὶ βόησον Κυρίῳ, καρδιογνῶστα ἥμαρτον, πρὶν καταδικάσῃς με, ἐλέησόν με. Δόξα.

Ἐπὶ τῆς δίκης τῆς φοβερᾶς ἄνευ κατηγόρων ἐλέγχομαι· ἄνευ μαρτύρων κατακρίνομαι, αἱ γὰρ βίβλοι τοῦ συνειδότος ἀναπτύσσονται καὶ τὰ ἔργα τὰ κεκρυμμένα ἀνακαλύπτονται, πρὶν ἢ ἐν ἐκείνῳ τῷ πανδήμῳ θεάτρῳ μέλλει, ἐρευνᾶσθαι τὰ ἐν ἐμοὶ πεπραγμένα, ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με. Καὶ νῦν.

Ἀκατανόητον καὶ ἀκατάληπτον ὑπάρχει δέσποινα Θεοχαρίτωτε τὸ πεπραγμένον ἐπὶ σοὶ φρικτὸν μυστήριον, τὸν γὰρ ἀπερίληπτον συλλαβοῦσα ἐκύησας σάρκα περιθέμενον ἐξ ἀχράντων αἱμάτων σου, ὃν πάντως ἁγνή, ὡς υἱόν σου δυσώπει σωθῆναι τοὺς ὑμνοῦντας σε.

## Τὸ Κύριε ἐλέησον μʹ καὶ ἡ εὐχή.

Κύριε παντοκράτορ, λόγε προανάρχου Πατρὸς, ὁ αὐτοτελὴς Θεὸς Ἰησοῦ Χριστὲ, ὁ διὰ σπλάγχνα ἀνεικάστου ἐλέους σου μηδέποτε χωριζόμενος τῶν σῶν οἰκετῶν, ἀλλ᾿ ἀεὶ ἐν αὐτοῖς ἀναπαυόμενος, μὴ ἐγκαταλίπῃς με τὸν δοῦλον σου πανάγιε βασιλεῦ. ἀλλὰ δός μοι τῷ ἀναξίῳ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου. καὶ φώτισόν μου τὸν νοῦν τῷ φωτὶ τῆς γνώσεως τοῦ Εὐαγγελίου σου, τὴν ψυχήν μου τῇ ἀγάπῃ τοῦ σταυροῦ σου σύνδησον, τὸ δὲ σῶμά μου τῇ σῇ ἀπαθείᾳ κόσμησον. Τοὺς λογισμοὺς εἰρήνευσον, καὶ τοὺς πόδας μου φύλαξον ἀπὸ ὀλισθήματος, καὶ μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου ἀγαθὲ Κύριε, ἀλλὰ δοκίμασόν με ὁ Θεὸς, καὶ γνῶθι τὴν καρδίαν μου. ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου, καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοὶ, καὶ ἀπόστρεψον ἀπ᾿ αὐτῆς καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ. Σὺ γὰρ εἶ ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωὴ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Παναγίῳ, καὶ Ἀγαθῷ, καὶ Ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ ΤΕ'ΤΑΡΤΟΝ.

## ΨΑΛΜΟ'Σ ΤΩ͂ ΔΑΒΙ'Δ. κδ'. 24.

Πρὸς σὲ Κύριε ἦρα τὴν ψυχήν μȣ, ὁ Θεός μȣ ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μȣ· ϗ γὰρ πάντες οἱ ὑπομένοντές σε, ȣ̓ μὴ καταισχυνθῶσιν.

Αἰσχυνθήτωσαν οἱ ἀνομȣ͂ντες διακενῆς. Τὰς ὁδȣ́ς σȣ Κύριε γνώρισόν μοι, ϗ τὰς τρίβȣς σȣ δίδαξόν με.

Ο'δήγησόν με ἐπὶ τὴν ἀλήθειάν σȣ, ϗ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ Σωτήρ μȣ, ϗ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.

Μνήσθητι τῶν οἰκτιρμῶν σȣ Κύριε, ϗ τὰ ἐλέη σȣ, ὅτι ἀπὸ τȣ͂ αἰῶνος εἰσίν.

Α'μαρτίας νεότητός μȣ, ϗ ἀγνοίας μȣ μὴ μνησθῇς.

Κατὰ τὸ ἔλεός σȣ μνήσθητί μȣ σὺ, ἕνεκεν τῆς χρηςότητός σȣ Κύριε.

Χρηςὸς ϗ εὐθὺς ὁ Κύριος· διὰ τȣ͂το νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.

Ο'δηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδὸς αὐτȣ͂.

Πᾶσαι αἱ ὁδοὶ Κυρίȣ, ἔλεος, ϗ ἀλήθεια, τοῖς ἐκζητȣ͂σι τὴν διαθήκην αὐτȣ͂, ϗ τὰ μαρτύρια αὐτȣ͂.

Ἕνεκεν τȣ͂ ὀνόματός σȣ Κύριε, ϗ ἱλάσθητι τῇ ἁμαρτίᾳ μȣ, πολλὴ γάρ ἐςι.

Τίς ἐςιν ἄνθρωπος ὁ φοβȣ́μενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.

Ἡ' ψυχὴ αὐτȣ͂ ἐν ἀγαθοῖς αὐλισθήσεται, ϗ τὸ σπέρμα αὐτȣ͂ κληρονομήσει γῆν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κραταίωμα Κύριος τῶν φοβȣμένων αὐτὸν, ϗ ἡ διαθήκη αὐτȣ̃ δηλῶσαι αὐτοῖς.

Οἱ ὀφθαλμοί μȣ διὰ παντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τȣ̀ς πόδας μȣ.

Ἐπίβλεψον ἐπ' ἐμὲ, ϗ ἐλέησόν με, ὅτι μονογενὴς ϗ πτωχός εἰμι ἐγώ.

Αἱ θλίψεις τῆς καρδίας μȣ ἐπληθύνθησαν. Ἐκ τῶν ἀναγκῶν μȣ ἐξάγαγέ με.

Ἴδε τὴν ταπείνωσίν μȣ, ϗ τὸν κόπον μȣ, ϗ ἄφες πάσας τὰς ἁμαρτίας μȣ.

Ἴδε τȣ̀ς ἐχθρούς μȣ, ὅτι ἐπληθύνθησαν, ϗ μῖσος ἄδικον ἐμίσησάν με.

Φύλαξον τὴν ψυχήν μȣ, ϗ ῥῦσαί με. Μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.

Ἄκακοι ϗ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε Κύριε.

Λύτρωσαι ὁ Θεὸς τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτȣ̃.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. κε. 25.

Κρῖνόν με Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μȣ ἐπορεύθην, ϗ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων, ȣ μὴ ἀσθενήσω.

Δοκίμασόν με Κύριε, ϗ πείρασόν με· πύρωσον τȣ̀ς νεφρούς μȣ, ϗ τὴν καρδίαν μȣ.

Ὅτι τὸ ἔλεός σȣ κατέναντι τῶν ὀφθαλμῶν μȣ ἐστὶ, ϗ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σȣ.

Οὐκ ἐκάθισα μετὰ συνεδρίȣ ματαιότητος, ϗ μετὰ παρανομȣ́ντων ȣ μὴ εἰσέλθω.

Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, ϗ μετὰ ἀσεβῶν ȣ μὴ καθίσω.

Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μȣ, ϗ κυκλώσω τὸ θυσιαστήριόν σȣ Κύριε.

Τȣ̃ ἀκȣ̃σαί με φωνῆς αἰνέσεώς σȣ, ϗ διηγήσασθαι πάντα τὰ θαυμάσιά σȣ.

Κύριε ἠγάπησα εὐπρέπειαν οἴκȣ σȣ, ϗ τόπον σκηνώματος δόξης σȣ.

Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μȣ, ϗ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μȣ.

Ὧν ἐν χερσὶν αἱ ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.

Ἐγὼ δὲ ἐν ἀκακίᾳ μȣ ἐπορεύθην. Λύτρωσαί με Κύριε, ϗ ἐλέησόν με.

Ὁ πȣ̃ς μȣ ἔστη ἐν εὐθύτητι. Ἐν Ἐκκλησίαις εὐλογήσω σε Κύριε.

ΨΑΛ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ

πρὸ τοῦ χρισθῆναι. κς'. 26.

Κύριος φωτισμός με καὶ Σωτήρ με, τίνα φοβηθήσομαι;
Κύριος ὑπερασπιςὴς τῆς ζωῆς με, ἀπὸ τίνος δειλιάσω;
Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας με.
Οἱ θλίβοντές με, καὶ οἱ ἐχθροί με αὐτοὶ ἠσθένησαν, καὶ ἔπεσον.
Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, ὀ φοβηθήσεται ἡ καρδία με
Ἐὰν ἐπαναςῆ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.
Μίαν ᾐτησάμην παρὰ Κυρίε, ταύτην ζητήσω, τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίε πάσας τὰς ἡμέρας τῆς ζωῆς με.
Τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίε, καὶ ἐπισκέπτεσθαι τὸν Ναὸν τὸν ἅγιον αὐτοῦ.
Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ, ἐν ἡμέρᾳ κακῶν με, ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ, ἐν πέτρᾳ ὕψωσέ με
Καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν με ἐπ' ἐχθρές με.
Ἐκύκλωσα, καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως, καὶ ἀλαλαγμοῦ· ᾄσω, καὶ ψαλῶ τῷ Κυρίῳ.
Εἰσάκεσον Κύριε τῆς φωνῆς με, ἧς ἐκέκραξα. ἐλέησόν με, καὶ εἰσάκουσόν με.
Σοὶ εἶπεν ἡ καρδία με, Κύριον ζητήσω. ἐξεζήτησέ σε τὸ πρόσωπόν με, τὸ πρόσωπόν σε Κύριε ζητήσω.
Μὴ ἀποςρέψῃς τὸ πρόσωπόν σε ἀπ' ἐμοῦ καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δέλε σε.
Βοηθός με γενοῦ, μὴ ἀποσκορακίσῃς με, καὶ μὴ ἐγκαταλίπῃς με ὁ Θεὸς ὁ Σωτήρ με.
Ὅτι ὁ Πατήρ με, καὶ ἡ Μήτηρ με ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσελάβετό με.
Νομοθέτησόν με Κύριε ἐν τῇ ὁδῷ σε, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν με.
Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέςησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.
Πιςεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίε, ἐν γῇ ζώντων.
Ὑπόμεινον τὸν Κύριον, ἀνδρίζε, καὶ κραταιέσθω ἡ καρδία σε, καὶ ὑπόμεινον τὸν Κύριον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ κζ΄. 27.

Πρὸς σὲ Κύριε κεκράξομαι, ὁ Θεός μȣ, μὴ παρασιωπήσῃς ἀπ' ἐμȣ͂ ϗ ὁμοιωθήσομαι τοῖς καταβαίνȣσιν εἰς λάκκον.

Εἰσάκȣσον Κύριε τῆς φωνῆς τῆς δεήσεώς μȣ, ἐν τῷ δέεσθαί με πρὸς σέ. Ἐν τῷ αἴρειν με χεῖράς μȣ πρὸς ναὸν ἅγιόν σȣ.

Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν, ϗ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με.

Τῶν λαλȣ́ντων εἰρήνην μετὰ τῶν πλησίων αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.

Δὸς αὐτοῖς Κύριε κατὰ τὰ ἔργα αὐτῶν, ϗ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν.

Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν, δὸς αὐτοῖς· ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.

Ὅτι ȣ̓ συνῆκαν εἰς τὰ ἔργα Κυρίȣ, ϗ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτȣ͂. Καθελεῖς αὐτȣ̀ς, ϗ ȣ̓ μὴ οἰκοδομήσεις αὐτȣ́ς.

Εὐλογητὸς Κύριος, ὅτι εἰσήκȣσε τῆς φωνῆς τῆς δεήσεώς μȣ.

Κύριος βοηθός μȣ, ϗ ὑπερασπιςής μȣ. ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μȣ, ϗ ἐβοηθήθην.

Καὶ ἀνέθαλεν ἡ σάρξ μȣ, ϗ ἐκ θελήματός μȣ ἐξομολογήσομαι αὐτῷ.

Κύριος κραταίωμα τȣ͂ λαȣ͂ αὐτȣ͂, ϗ ὑπερασπιςὴς τῶν σωτηρίων τȣ͂ Χριςȣ͂ αὐτȣ͂ ἐςι.

Σῶσον τὸν λαόν σȣ, ϗ εὐλόγησον τὴν κληρονομίαν σȣ, ϗ ποίμανον αὐτȣ̀ς, ϗ ἔπαρον αὐτȣ̀ς ἕως τȣ͂ αἰῶνος.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ.

Ἐξοδίȣ σκηνῆς. κή. 28.

Ἐνέγκατε τῷ Κυρίῳ Υἱοὶ Θεȣ͂, ἐνέγκατε τῷ Κυρίῳ υἱȣ̀ς κριῶν.

Ἐνέγκατε τῷ Κυρίῳ δόξαν, ϗ τιμήν. ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτȣ͂, προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτȣ͂.

Φωνὴ Κυρίȣ ἐπὶ τῶν ὑδάτων. Ὁ Θεὸς τῆς δόξης ἐβρόντησε. Κύριος ἐπὶ ὑδάτων πολλῶν.

Φωνὴ Κυρίȣ ἐν ἰσχύϊ, φωνὴ Κυρίȣ ἐν μεγαλοπρεπείᾳ.

Φωνὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Φωνὴ Κυρίε συντρίβοντος κέδρες. καὶ συντρίψει Κύριος τας κέδρες τε Λιβάνε.
Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν λίβανον. ϗ ὁ ἠγαπημένος ὡς Υἱὸς μονοκερώτων.
Φωνὴ Κυρίε διακόπτοντος φλόγα πυρός. Φωνὴ Κυρίε συσσείοντος ἔρημον, ϗ συσσείσει Κύριος τὴν ἔρημον Κάδδης.
Φωνὴ Κυρίε καταρτιζομένη ἐλάφες, ϗ ἀποκαλύψει δρυμὲς, ϗ ἐν τῷ ναῷ αὐτε πᾶς τις λέγει δόξαν.
Κύριος τὸν κατακλυσμὸν κατοικεῖ, ϗ καθιεῖται Κύριος Βασιλεὺς εἰς τὸν αἰῶνα.
Κύριος ἰσχὺν τῷ λαῷ αὐτε δώσει, Κύριος εὐλογήσει τὸν λαὸν αὐτε ἐν εἰρήνῃ.

Εἰς τὸ τέλος.

## ΨΑΛΜΟΣ ΩΔΗΣ.

Τῆς ἐγκαινισμε τε οἴκε Δαβίδ. κθ΄. 29.

Υψώσω σε Κύριε, ὅτι ὑπέλαβές με, ϗ ἐκ εὔφρανας τὲς ἐχθρές με ἐπ᾽ ἐμέ.
Κύριε ὁ Θεός με, ἐκέκραξα πρὸς σὲ, ϗ ἰάσω με.
Κύριε ἀνήγαγες ἐξ ᾅδε τὴν ψυχήν με, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.
Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτε, ϗ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτε.
Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτε, ϗ ζωὴ ἐν τῷ θελήματι αὐτε.
Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, ϗ εἰς τῷ πρωῒ ἀγαλλίασις.
Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ με, ὲ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.
Κύριε ἐν τῷ θελήματί σε παρέχε τῷ κάλλει με δύναμιν.
Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σε, ϗ ἐγενήθην τεταραγμένος.
Πρὸς σὲ Κύριε κεκράξομαι, ϗ πρὸς τὸν Θεόν με δεηθήσομαι.
Τίς ὠφέλεια ἐν τῷ αἵματί με, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;
Μὴ ἐξομολογήσεταί σοι χες; ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σε;
Ἤκεσε Κύριος, ϗ ἠλέησέ με. Κύριος ἐγενήθη βοηθός με.
Ἔστρεψας τὸν κοπετόν με εἰς χαρὰν ἐμοὶ, διέῤῥηξας τὸν σάκκον με, ϗ περιέζωσάς με εὐφροσύνην.

Ὅπως

Δημόσια Βιβλιοθήκη Μηλεών

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ κζ'. 27.

Πρὸς σὲ Κύριε κεκράξομαι, ὁ Θεός μȣ, μὴ παρασιωπήσῃς ἀπ' ἐμȣ̃ ἢ ὁμοιωθήσομαι τοῖς καταβαίνȣσιν εἰς λάκκον.
Εἰσάκȣσον Κύριε τῆς φωνῆς τῆς δεήσεώς μȣ, ἐν τῷ δέεσθαί με πρὸς σέ. Ἐν τῷ αἴρειν με χεῖράς μȣ πρὸς ναὸν ἅγιόν σȣ.
Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν, ϗ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με.
Τῶν λαλȣ́ντων εἰρήνην μετὰ τῶν πλησίων αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.
Δὸς αὐτοῖς Κύριε κατὰ τὰ ἔργα αὐτῶν, ϗ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν.
Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν, δὸς αὐτοῖς· ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.
Ὅτι ȣ̓ συνῆκαν εἰς τὰ ἔργα Κυρίȣ, ϗ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτȣ̃. Καθελεῖς αὐτȣ̀ς, ϗ ȣ̓ μὴ οἰκοδομήσεις αὐτȣ́ς.
Εὐλογητὸς Κύριος, ὅτι εἰσήκȣσε τῆς φωνῆς τῆς δεήσεώς μȣ.
Κύριος βοηθός μȣ, ϗ ὑπερασπιςής μȣ. ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μȣ, ϗ ἐβοηθήθην.
Καὶ ἀνέθαλεν ἡ σάρξ μȣ, ϗ ἐκ θελήματός μȣ ἐξομολογήσομαι αὐτῷ.
Κύριος κραταίωμα τȣ̃ λαȣ̃ αὐτȣ̃, ϗ ὑπερασπιςὴς τῶν σωτηρίων τȣ̃ Χριςȣ̃ αὐτȣ̃ ἐςί.
Σῶσον τὸν λαόν σȣ, ϗ εὐλόγησον τὴν κληρονομίαν σȣ, ϗ ποίμανον αὐτȣ̀ς, ϗ ἔπαρον αὐτȣ̀ς ἕως τȣ̃ αἰῶνος.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ.

Ἐξοδίȣ σκηνῆς. κή. 28.

Ἐνέγκατε τῷ Κυρίῳ Υἱοὶ Θεȣ̃, ἐνέγκατε τῷ Κυρίῳ υἱȣ̀ς κριῶν.
Ἐνέγκατε τῷ Κυρίῳ δόξαν, ϗ τιμήν. ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτȣ̃, προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτȣ̃.
Φωνὴ Κυρίȣ ἐπὶ τῶν ὑδάτων. Ὁ Θεὸς τῆς δόξης ἐβρόντησε. Κύριος ἐπὶ ὑδάτων πολλῶν.
Φωνὴ Κυρίȣ ἐν ἰσχύϊ, φωνὴ Κυρίȣ ἐν μεγαλοπρεπείᾳ.

Φωνὴ

Δημόσια Βιβλιοθήκη Μηλεών

Φωνὴ Κυρίε συντρίβοντος κέδρες. καὶ συντρίψει Κύριος τὰς κέδρες τε Λιβάνε.
Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον. ϗ ὁ ἠγαπημένος ὡς Υἱὸς μονοκερώτων.
Φωνὴ Κυρίε διακόπτοντος φλόγα πυρός. Φωνὴ Κυρίε συσσείοντος ἔρημον, ϗ συσσείσει Κύριος τὴν ἔρημον Κάδδης.
Φωνὴ Κυρίε καταρτιζομένη ἐλάφες, ϗ ἀποκαλύψει δρυμὲς, ϗ ἐν τῷ ναῷ αὐτε πᾶς τις λέγει δόξαν.
Κύριος τὸν κατακλυσμὸν κατοικεῖ, ϗ καθιεῖται Κύριος Βασιλεὺς εἰς τὸν αἰῶνα.
Κύριος ἰχὺν τῷ λαῷ αὐτε δώσει, Κύριος εὐλογήσει τὸν λαὸν αὐτε ἐν εἰρήνῃ.

Εἰς τὸ τέλος.

## ΨΑΛΜΟΣ ᾨΔΗΣ.

Τῆς ἐγκαινισμε τε οἴκε Δαβίδ. κθ'. 29.

Υψώσω σε Κύριε, ὅτι ὑπέλαβές με, ϗ ἐκ εὔφρανας τὲς ἐχθρές με ἐπ' ἐμέ.
Κύριε ὁ Θεός με, ἐκέκραξα πρὸς σὲ, ϗ ἰάσω με.
Κύριε ἀνήγαγες ἐξ ᾅδε τὴν ψυχήν με, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.
Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτε, ϗ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτε.
Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτε, ϗ ζωὴ ἐν τῷ θελήματι αὐτε.
Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, ϗ εἰς τὸ πρωῒ ἀγαλλίασις.
Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ με, ἐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.
Κύριε ἐν τῷ θελήματί σε παρέχε τῷ κάλλει με δύναμιν.
Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σε, ϗ ἐγενήθην τεταραγμένος.
Πρὸς σὲ Κύριε κεκράξομαι, ϗ πρὸς τὸν Θεόν με δεηθήσομαι.
Τίς ὠφέλεια ἐν τῷ αἵματί με, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;
Μὴ ἐξομολογήσεταί σοι χες; ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σε;
Ἤκεσε Κύριος, ϗ ἠλέησέ με. Κύριος ἐγενήθη βοηθός με.
Ἔστρεψας τὸν κοπετόν με εἰς χαρὰν ἐμοὶ, διέῤῥηξας τὸν σάκκον με, ϗ περιέζωσάς με εὐφροσύνῃ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μȣ, ϗ ȣ̓ μὴ κατανυγῶ. Κύριε ὁ Θεός μȣ, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

Δόξα, καὶ νῦν Ἀλληλȣ̈ϊα.

Εἰς τὸ τέλος

ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ.

Ἐκςάσεως. λ'. 30.

Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Ἐν τῇ δικαιοσύνῃ σȣ ῥῦσαί με ϗ ἐξελȣ̃ με.

Κλῖνον πρός με τὸ ȣ̓̃ς σȣ, τάχυνον τȣ̃ ἐξελέσθαι με. Γενȣ̃ μοι εἰς Θεὸν ὑπερασπιςὴν, ϗ εἰς οἶκον καταφυγῆς τȣ̃ σῶσαί με.

Ὅτι κραταίωμά μȣ, ϗ καταφυγή μȣ εἶ σύ. Καὶ ἕνεκεν τȣ̃ ὀνόματός σȣ ὁδηγήσεις με, ϗ διαθρέψεις με.

Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιςής μȣ.

Κύριε, εἰς χεῖράς σȣ παραθήσομαι τὸ πνεῦμά μȣ. Ἐλυτρώσω με Κύριε ὁ Θεὸς τῆς ἀληθείας.

Ἐμίσησας τȣ̀ς διαφυλάσσοντας ματαιότητας διακενῆς.

Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα, ἀγαλλιάσομαι, ϗ εὐφρανθήσομαι, ἐπὶ τῷ ἐλέει σȣ.

Ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μȣ, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μȣ, ϗ ȣ̓ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν.

Ἔςησας ἐν εὐρυχώρῳ τȣ̀ς πόδας μȣ. ἐλέησόν με Κύριε, ὅτι θλίβομαι.

Ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μȣ, ἡ ψυχή μȣ, ϗ ἡ γαςήρ μȣ.

Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μȣ, ϗ τὰ ἔτη μȣ ἐν ςεναγμοῖς.

Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μȣ, ϗ τὰ ὀςᾶ μȣ ἐταράχθησαν.

Παρὰ πάντας τȣ̀ς ἐχθρȣ́ς μȣ ἐγενήθην ὄνειδος, ϗ τοῖς γείτοσί μȣ σφόδρα, ϗ φόβος τοῖς γνωςοῖς μȣ.

Οἱ θεωρȣ̃ντές με ἔξω ἔφυγον ἀπ' ἐμȣ̃, ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας.

Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλὸς, ὅτι ἤκȣσα ψόγον πολλῶν παροικȣ́ντων κυκλόθεν.

Ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εν τῷ ἐπισυναχθῆναι αὐτὲς ἅμα ἐπ' ἐμὲ, τε λαβεῖν τὴν ψυχήν με ἐβελεύσαντο.

Εγὼ δὲ ἐπὶ σοὶ Κύριε ἤλπισα. εἶπα, σοὶ εἶ ὁ Θεός με, ἐν ταῖς χερσί σε οἱ κλῆροί με.

Ρῦσαί με ἐκ χειρὸς ἐχθρῶν με, ἐκ τῶν καταδιωκόντων με.

Επίφανον τὸ πρόσωπόν σε ἐπὶ τὸν δελόν σε. Σῶσόν με ἐν τῷ ἐλέει σε.

Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε. Αἰσχυνθείησαν ἀσεβεῖς, καταχθείησαν εἰς ᾅδε.

Αλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλεντα κατὰ τε δικαίε ἀνομίαν, ἐν ὑπερηφανίᾳ ἐξεδενώσει.

Ως πολὺ τὸ πλῆθος τῆς χρηςότητός σε Κύριε, ἧς ἔκρυψας τοῖς φοβεμένοις σε. Εξειργάσω τοῖς ἐλπίζεσιν ἐπὶ σε, ἐναντίον τῶν Υἱῶν τῶν ἀνθρώπων.

Κατακρύψεις αὐτὲς ἐν ἀποκρύφῳ τε προσώπε σε, ἀπὸ ταραχῆς ἀνθρώπων.

Σκεπάσεις αὐτὲς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.

Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάςωσε τὸ ἔλεος αὐτε ἐν πόλει περιοχῆς.

Εγὼ δὲ εἶπα ἐν τῇ ἐκςάσει με, ἀπέῤῥιμαι ἀπὸ προσώπε τῶν ὀφθαλμῶν σε.

Διὰ τετο εἰσήκεσας τῆς φωνῆς τῆς δεήσεώς με ἐν τῷ κεκραγέναι με πρὸς σε.

Αγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτε. Οτι ἀληθείας ἐκζητεῖ Κύριος, ἀνταποδίδωσι τοῖς περισσῶς ποιεσιν ὑπερηφανίαν.

Ανδρίζεσθαι, κραταιέσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ.

Συνέσεως. λά. 31.

Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.

Μακάριος ἀνὴρ, ᾧ ε μὴ λογίσηται Κύριος ἁμαρτίαν, εδέ ἐςιν ἐν τῷ ςόματι αὐτε δόλος.

Οτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀςᾶ με, ἀπὸ τὸ κράζειν με ὅλην τὴν ἡμέραν.

Ὅτι ἡμέρας, καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σε. Ἐςράφην εἰς ταλαιπωρίαν, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν.

Τὴν ἀνομίαν με ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν με ἐκ ἐκάλυψα.

Εἶπα, ἐξαγορεύσω κατ' ἐμε τὴν ἀνομίαν με τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας με.

Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος, ἐν καιρῷ εὐθέτῳ.

Πλὴν, ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν ἐκ ἐγγιᾶσι.

Σύ με εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχέσης με. τὸ ἀγαλλίαμά με, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.

Συνετιῶ σε, καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ, ἐπιςηριῶ ἐπὶ σὲ τὲς ὀφθαλμές με.

Μὴ γίνεσθε ὡς ἵππος, καὶ ἡμίονος, οἷς ἐκ ἔςι σύνεσις.

Ἐν κημῷ, καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ.

Πολλαὶ αἱ μάςιγες τε ἁμαρτωλε. Τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.

Εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Δόξα, καὶ νῦν. ἀλληλέϊα.

### Τὸ Τρισάγιον, εἶτα τὰ Τροπάρια. ἦχος δ'.

Τὴν ταπεινήν με ψυχὴν ἐπίσκεψον Κύριε, τὴν ἐν ἁμαρτίαις τὸν βίον ὅλον δαπανήσασαν, ὃν τρόπον τὴν πόρνην, δέξε κἀμὲ καὶ σῶσόν με.

Διαπλέων τὸ πέλαγος τῆς παρέσης ζωῆς, ἐνθυμεμαι τὴν ἄβυσσον τῶν πολλῶν με κακῶν, καὶ μὴ ἔχων τὸν κυβερνήτην λογισμὸν, τὴν τε Πέτρε σοι προσφέγγομαι φωνὴν, σῶσον με Χριςὲ, σῶσον με ὁ Θεὸς ὡς φιλάνθρωπος. Δόξα.

Ταχὺ συνεισέλθωμεν εἰς τὸν νυμφῶνα Χριςε, ἵνα πάντες ἀκέσωμεν τῆς μακαρίας φωνῆς Χριςε τε Θεε ἡμῶν, δεῦται οἱ ἀγαπῶντες τὴν ἐράνιον δόξαν, συμμέτοχοι γεγονότες τῶν φρονίμων Παρθένων, φαιδρύναντες τὰς λαμπάδας ἡμῶν διὰ τῆς Πίςεως.

Ψυ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ νῦν.

Ψυχὴ μετανόησον πρὸ τῆς ἐξόδου σου· Ἡ κρίσις ἀδέκαστος τοῖς ἁμαρτάνουσιν, ὑπάρχει καὶ ἄστεκτος, βόησον τῷ Κυρίῳ ἐν κατανύξει καρδίας, ἥμαρτόν σοι ἐν γνώσει, καὶ ἀγνοίᾳ, οἰκτίρμον, πρεσβείαις τῆς Θεοτόκου οἴκτειρον σῶσον με.

Τὸ Κύριε ἐλέησον μ'. καὶ ἡ εὐχή.

Σοὶ Κύριε τῷ μόνῳ καὶ ἀγαθῷ καὶ ἀμνησικάκῳ ἐξομολογοῦμαι τὰς ἁμαρτίας μου. σοὶ προσπίπτω βοῶν ὁ ἀνάξιος, ἡμάρτηκα Κύριε ἡμάρτηκα, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι εἰς τὸ ὕψος τοῦ Οὐρανοῦ ἀπὸ τοῦ πλή[θους] τῶν ἀδικιῶν μου. Ἀλλὰ Κύριέ μου Κύριε, χάρι[σαί μοι] δάκρυα κατανύξεως ὁ μόνος ἀγαθὸς καὶ ἐλεήμων, ὅπως ἐν αὐτοῖς σὲ ἱκετεύω[ν] καθαρισθῆναι πρὸ τέλους ἀπὸ πάσης ἁμαρτίας· φοβεροὺς γὰρ καὶ φρικώδεις τόπους μέ[λλω] διέρχεσθαι τοῦ σώματος χωρισθείς. καὶ πλῆθος με ζοφερὰ καὶ ἀπάνθρωπος δαιμονίων συναντήσεται. καὶ οὐδεὶς ὁ ἐπὶ β[οη]θείᾳς συνοδεύων, ἢ ἐξαιρούμενος. διὸ προσπίπτω τῇ σῇ ἀγ[α]θότητι, μὴ παρ[α]δοθείην τοῖς ἀδικοῦσί με, μηδὲ καυχήσοιντο κατ' ἐμοῦ οἱ ἐχθροί μου ἀγαθὲ Κύριε· μηδὲ εἴπoιεν, εἰς χεῖρας ἡμῶν ἐλήλυθας, καὶ ὑμῖν παρεδόθης, μὴ Κύριε, μὴ ἐπιλάθῃ τῶν οἰκτιρμῶν σου, καὶ μὴ ἀποδώσῃς μοι κατὰ τὰς ἀ[νομ]ίας μου, καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. Ἀλλὰ σὺ Κύριε [π]αίδευσόν με, πλὴν ἐν ἐλέει καὶ οἰκτιρμοῖς. ὁ δὲ ἐχθρὸς μὴ ἐπιχαρείτω μοι, ἀλλὰ σβέσον αὐτοῦ τὴν κατ' ἐμοῦ ἀπειλὴν, καὶ πᾶσαν κατάργησον αὐτοῦ τὴν ἐνέργειαν· καὶ δός μοι τὴν πρὸς σὲ ὁδὸν ἀνύβριστον ἀγαθὲ Κύριε, διότι καὶ ἁμαρτήσας οὐ προσέφυγον εἰς ἄλλον ἰατρὸν, καὶ οὐκ ἐξέτεινα χεῖράς μου πρὸς θεὸν ἀλλότριον· μὴ οὖν ἀπώσῃ τὴν δέησίν μου, ἀλλ' ἐπάκουσόν μου διὰ τῆς σῆς ἀγαθότητος, καὶ στήριξόν μου τὴν καρδίαν τῷ φόβῳ σου, καὶ γενηθήτω ἡ χάρις σου ἐπ' ἐμοὶ Κύριε, ὡς πῦρ φλογίζουσα τοὺς ἀκαθάρτους ἐν ἐμοὶ λογισμούς. Σὺ γὰρ εἶ Κύριε τὸ φῶς, τὸ ὑπὲρ πᾶν φῶς, ἡ χαρὰ, ἡ ὑπὲρ πᾶσαν χαρὰν, ἡ ἀνάπαυσις, ἡ ὑπὲρ πᾶσαν ἀνάπαυσιν, ἡ ζωὴ ἡ ἀληθινὴ, καὶ σωτηρία ἡ διαμένουσα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ ΠΕ'ΜΠΤΟΝ.

## ΨΑΛΜΟ'Σ ΤΩ͂ ΔΑΒΙ'Δ.

Ἀνεπίγραφος παρ' Ἑβραίοις. λβ'. 32.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.
Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλλατε αὐτῷ.
Ἄσατε αὐτῷ ᾆσμα καινὸν, καλῶς ψάλλατε αὐτῷ ἐν ἀλαλαγμῷ.
Ὅτι εὐθὺς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει.
Ἀγαπᾷ ἐλεημοσύνην, καὶ κρίσιν ὁ Κύριος. Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.
Τῷ λόγῳ Κυρίου οἱ Οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.
Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.
Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ, ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν Οἰκουμένην.
Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
Κύριος διασκεδάζει βουλὰς Ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων.
Ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.
Μακάριον τὸ Ἔθνος, οὗ ἐστι Κύριος ὁ Θεὸς αὐτοῦ, λαὸς, ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.
Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, εἶδε πάντας τοὺς Υἱοὺς τῶν ἀνθρώπων.

Ἐξ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ε'ξ ἑτοίμε κατοικητηρίε αὐτε ἐπέβλεψεν ἐπὶ πάντας τὲς κατοικεν-
τας τὴν γῆν.

Ο' πλάσας καταμόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔρ-
γα αὐτῶν.

Οὐ σώζεται Βασιλεὺς διὰ πολλὴν δύναμιν, ϗ γίγας ἐ σωθήσεται
ἐν πλήθει ἰσχύος αὐτε.

Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτε ἐ σωθή-
σεται.

Ι'δὲ οἱ ὀφθαλμοὶ Κυρίε ἐπὶ τὲς φοβεμένες αὐτὸν, τὲς ἐλπίζοντας
ἐπὶ τὸ ἔλεος αὐτε.

Ρ'ύσασθαι ἐκ θανάτε τὰς ψυχὰς αὐτῶν, ϗ διαθρέψαι αὐτὲς ἐν λιμῷ.

Η' δὲ ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ Κυρίῳ, ὅτι βοηθὸς, ϗ ὑπερασπιςὴς
ἡμῶν ἐςιν.

Ο'τι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, ϗ ἐν τῷ ὀνόματι τῷ
αγίῳ αὐτε ἠλπίσαμεν.

Γένοιτο Κύριε τὸ ἔλεός σε ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σοί.

## ΨΑΛΜΟ'Σ ΤΩ, ΔΑΒΙ'Δ,

*ὅτε ἠλλοίωσε τὸ πρόσωπον αὐτε ἐναντίον Α'βιμέλεχ, καὶ ἀπέλυσεν αὐτὸν, καὶ ἀπῆλθεν. λγ'. 33.*

Εὐλογησω τὸν Κύριον ἐν παντὶ καιρῷ, διαπαντὸς ἡ αἴνεσις αὐτε ἐν
τῷ ςόματί με.

Ε'ν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή με. Α'κεσάτωσαν πραεῖς, ϗ
εὐφρανθήτωσαν.

Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ, ϗ ὑψώσωμεν τὸ ὄνομα αὐτε
ἐπὶ τὸ αὐτό.

Ε'ξεζήτησα τὸν Κύριον, ϗ ἐπήκεσέ με, ϗ ἐκ πασῶν τῶν θλίψεών
με ἐῤῥύσατό με.

Προσέλθετε πρὸς αὐτὸν, ϗ φωτίσθητε, ϗ τὰ πρόσωπα ὑμῶν ἐ μὴ
καταισχυνθῇ.

Οὗτος ὁ πτωχὸς ἐκέκραξε, ϗ ὁ Κύριος εἰσήκεσεν αὐτε, ϗ ἐκ πα-
σῶν τῶν θλίψεων αὐτε ἔσωσεν αὐτόν.

Παρεμβαλεῖ Α'γγελος Κυρίε κύκλῳ τῶν φοβεμένων αὐτὸν, ϗ
ῥύσεται αὐτές.



Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος. Μακάριος ἀνὴρ, ὃς ἐλπίζει ἐπ᾽ αὐτόν.

Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

Πλούσιοι ἐπτώχευσαν, καὶ ἐπείνασαν. Οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Δεῦτε τέκνα ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς.

Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;

Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου, τοῦ μὴ λαλῆσαι δόλον.

Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. Ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν.

Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.

Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐῤῥύσατο αὐτούς.

Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ Πνεύματι σώσει.

Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.

Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.

Θάνατος ἁμαρτωλῶν πονηρὸς, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι.

Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ᾽ αὐτόν.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ λδʹ. 34.

Δίκασον Κύριε τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με.

Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου.

Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με. Εἶπον τῇ ψυχῇ μου, σωτηρία σου εἰμὶ ἐγώ.

Αἰ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Αἰσχυνθήτωσαν, ϗ ἐντραπήτωσαν οἱ ζητȣ͂ντες τὴν ψυχήν μȣ.

Ἀποςραφήτωσαν εἰς τὰ ὀπίσω, ϗ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά.

Γενηθήτωσαν ὡσεὶ χνȣ͂ς κατὰ πρόσωπον ἀνέμȣ, ϗ Ἄγγελος Κυρίȣ ἐκθλίβων αὐτȣ́ς.

Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος, ϗ ὀλίσθημα· ϗ Ἄγγελος Κυρίȣ καταδιώκων αὐτȣ́ς·

Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν· μάτην ὠνείδισαν τὴν ψυχήν μȣ.

Ἐλθέτω αὐτῷ παγὶς, ἣν ȣ̓ γινώσκει, ϗ ἡ θήρα ἣν ἔκρυψε, συλλαβέτω αὐτὸν, ϗ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ.

Ἡ δὲ ψυχή μȣ ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτȣ͂.

Πάντα τὰ ὀςᾶ μȣ ἐρȣ͂σι. Κύριε, Κύριε, τίς ὅμοιός σοι;

Ῥυόμενος πτωχὸν ἐκ χειρὸς ςερεωτέρων αὐτȣ͂, ϗ πτωχὸν, ϗ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.

Ἀναςάντες μοι μάρτυρες ἄδικοι, ἃ ȣ̓κ ἐγίνωσκον ἠρώτων με.

Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν, ϗ ἀτεκνίαν τῇ ψυχῇ μȣ.

Ἐγὼ δὲ, ἐν τῷ αὐτȣ̀ς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον.

Καὶ ἐταπείνȣν ἐν νηςείᾳ τὴν ψυχήν μȣ, ϗ ἡ προσευχή μȣ εἰς κόλπον μȣ ἀποςραφήσεται.

Ὡς πλησίον, ὡς ἀδελφῷ ἡμετέρῳ, ὅτως εὐηρέςȣν, ὡς πενθῶν ϗ σκυθρωπάζων, ὅτως ἐταπεινȣ́μην.

Καὶ κατ' ἐμȣ͂ εὐφράνθησαν, ϗ συνήχθησαν, συνήχθησαν ἐπ' ἐμὲ μάςιγες, ϗ ȣ̓κ ἔγνων.

Διεσχίσθησαν, ϗ ȣ̓ κατενύγησαν, ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ, ἔβρυξαν ἐπ' ἐμὲ τȣ̀ς ὀδόντας αὐτῶν.

Κύριε, πότε ἐπόψει; Ἀποκατάςησον τὴν ψυχήν μȣ ἀπὸ τῆς κακεργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μȣ.

Ἐξομολογήσομαί σοι ἐν Ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε.

Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισȣ͂ντες με δωρεὰν, ϗ διανεύοντες ὀφθαλμοῖς.

Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλȣν, ϗ ἐπ' ὀργὴν δόλȣς διελογίζοντο.

Ἐπλάτυναν ἐπ' ἐμὲ ςόμα αὐτῶν. Εἶπον, εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν.



Δημόσια Βιβλιοθήκη Μηλεών

Ἴδες Κύριε, μὴ παρασιωπήσῃς. Κύριε μὴ ἀποςῇς ἀπ' ἐμȣ̃.
Ἐξεγέρθητι Κύριε, ϗ πρόσχες τῇ κρίσει μȣ ὁ Θεός μȣ, ϗ ὁ Κύριός μȣ εἰς τὴν δίκην μȣ.
Κρῖνόν με Κύριε κατὰ τὴν δικαιοσύνην σȣ, Κύριε ὁ Θεός μȣ, ϗ μὴ ἐπιχαρείησάν μοι.
Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν, εὖγε, εὖγε, τῇ ψυχῇ ἡμῶν. μὴ δὲ εἴποιεν, κατεπίομεν αὐτόν.
Αἰσχυνθείησαν, ϗ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μȣ.
Ἐνδυσάσθωσαν αἰσχύνην, ϗ ἐντροπὴν οἱ μεγαλοῤῥημονȣ̃ντες ἐπ' ἐμέ.
Ἀγαλλιάσθωσαν ϗ εὐφρανθήτωσαν οἱ θέλοντες τὴν δικαιοσύνην μȣ. Καὶ εἰπάτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τȣ̃ δέλȣ αὐτȣ̃.
Καὶ ἡ γλῶσσά μȣ μελετήσει τὴν δικαιοσύνην σȣ, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σȣ.

Εἰς τὸ τέλος.

Τῷ παιδὶ Κυρίȣ τῷ Δαβίδ. λέ. 35.

Φησὶν ὁ παράνομος τȣ̃ ἁμαρτάνειν ἐν ἑαυτῷ, ȣ̓κ ἔςι φόβος Θεȣ̃ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτȣ̃.
Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτȣ̃, τȣ̃ εὑρεῖν τὴν ἀνομίαν αὐτȣ̃, ϗ μισῆσαι.
Τὰ ῥήματα τȣ̃ ςόματος αὐτȣ̃, ἀνομία ϗ δόλος. ȣ̓κ ἠβȣλήθη συνιέναι τȣ̃ ἀγαθῦναι.
Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτȣ̃. Παρέςη πάσῃ ὁδῷ ȣ̓κ ἀγαθῇ, κακίᾳ δὲ ȣ̓ προσώχθισε.
Κύριε ἐν τῷ Οὐρανῷ τὸ ἔλεός σȣ, ϗ ἡ ἀλήθειά σȣ ἕως τῶν νεφελῶν.
Ἡ δικαιοσύνη σȣ, ὡς ὄρη Θεȣ̃, τὰ κρίματά σȣ ἄβυσσος πολλή.
Ἀνθρώπȣς ϗ κτήνη σώσεις Κύριε. Ὡς ἐπλήθυνας τὸ ἔλεός σȣ ὁ Θεός.
Οἱ δὲ Υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σȣ ἐλπιȣ̃σι.
Μεθυσθήσονται ἀπὸ πιότητος οἴκȣ σȣ, ϗ τὸν χειμάῤῥȣν τῆς τρυφῆς σȣ ποτιεῖς αὐτȣ́ς.
Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σȣ ὀψόμεθα φῶς.
Παράτεινον τὸ ἔλεός σȣ τοῖς γινώσκȣσί σε, ϗ τὴν δικαιοσύνην σȣ τοῖς εὐθέσι τῇ καρδίᾳ.
Μὴ ἐλθέτω μοι πȣ̃ς ὑπερηφανίας, ϗ χεὶρ ἁμαρτωλȣ̃ μὴ σαλεύσαι με

Ἐκεῖ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Ἐξώσθησαν, ϗ ȣ μὴ δύνονται ςῆναι.

Δόξα, καὶ νῦν Ἀλληλȣΐα.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. λϛ΄. 36.

Μὴ παραζήλȣ ἐν πονηρευομένοις, μὴ δὲ ζήλȣ τȣ̀ς ποιȣ̃ντας τὴν ἀνομίαν.

Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, ϗ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσȣ̃νται.

Ἔλπισον ἐπὶ Κύριον, ϗ ποίει χρηςότητα, ϗ κατασκήνȣ τὴν γῆν, ϗ ποιμανθήσῃ ἐπὶ τῷ πλȣ́τῳ αὐτῆς.

Κατατρύφησον τȣ̃ Κυρίȣ, ϗ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σȣ.

Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σȣ, ϗ ἔλπισον ἐπ᾽ αὐτὸν, ϗ αὐτὸς ποιήσει.

Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σȣ, ϗ τὸ κρῖμά σȣ ὡς μεσημβρίαν.

Ὑποτάγηθι τῷ Κυρίῳ, ϗ ἱκέτευσον αὐτόν. Μὴ παραζήλȣ ἐν τῷ κατευοδȣμένῳ ἐν τῇ ὁδῷ αὐτȣ̃, ἐν ἀνθρώπῳ ποιȣ̃ντι παρανομίαν.

Παῦσαι ἀπὸ ὀργῆς, ϗ ἐγκατάλιπε θυμόν. Μὴ παραζήλȣ, ὥςτε πονηρεύεσθαι.

Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται. Οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσȣσι γῆν.

Καὶ ἔτι ὀλίγον, ϗ ȣ̓ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλὸς, ϗ ζητήσεις τὸν τόπον αὐτȣ̃, ϗ ȣ̓ μὴ εὕρῃς.

Οἱ δὲ πραεῖς κληρονομήσȣσι γῆν, ϗ κατατρυφήσȣσιν ἐπὶ πλήθει εἰρήνης.

Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, ϗ βρύξει ἐπ᾽ αὐτὸν τȣ̀ς ὀδόντας αὐτȣ̃.

Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτὸν, ὅτι προβλέπει, ὅτι ἥξει ἡμέρα αὐτȣ̃.

Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοὶ, ἐνέτειναν τόξον αὐτῶν.

Τȣ̃ καταβαλεῖν πτωχὸν ϗ πένητα, τȣ̃ σφάξαι τȣ̀ς εὐθεῖς τῇ καρδίᾳ.

Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν, ϗ τὰ τόξα αὐτῶν συντριβείη.

Κρεῖσ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κρεῖσσον ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλῦτον ἁμαρτωλῶν πολύν.

Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται· ὑποςηρίζει δὲ τὲς δικαίες ὁ Κύριος.

Γινώσκει Κύριος τὰς ὁδὲς τῶν ἀμώμων, ἢ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔςαι.

Οὐ καταιχυνθήσονται ἐν καιρῷ πονηρῷ, ἢ ἐν ἡμέραις λιμῦ χορτασθήσονται. Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολῦνται·

Οἱ δὲ ἐχθροὶ τῦ Κυρίε ἅμα τῷ δοξασθῆναι αὐτὲς, ἢ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον.

Δανείζεται ὁ ἁμαρτωλὸς, ἢ ὐκ ἀποτίσει· ὁ δίκαιος οἰκτείρει, ἢ δίδωσιν.

Ὅτι οἱ εὐλογῦντες αὐτὸν κληρονομήσεσι γῆν. Οἱ δὲ καταρώμενοι αὐτὸν, ἐξολοθρευθήσονται.

Παρὰ Κυρίε τὰ διαβήματα ἀνθρώπε κατευθύνεται, ἢ τὴν ὁδὸν αὐτῦ θελήσει σφόδρα.

Ὅταν πέσῃ, ὐ καταῤῥαχθήσεται, ὅτι Κύριος ἀντιςηρίζει χεῖρα αὐτῷ.

Νεώτερος ἐγενόμην, ἢ γὰρ ἐγήρασα, ἢ ὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, ὐδὲ τὸ σπέρμα αὐτῦ ζητῦν ἄρτες.

Ὅλην τὴν ἡμέραν ἐλεεῖ, ἢ δανείζει ὁ δίκαιος, ἢ τὸ σπέρμα αὐτῦ εἰς εὐλογίαν ἔςαι.

Ἔκκλινον ἀπὸ κακῦ, ἢ ποίησον ἀγαθὸν, ἢ κατασκήνε εἰς αἰῶνα αἰῶνος.

Ὅτι Κύριος ἀγαπᾷ κρίσιν, ἢ ὐκ ἐγκαταλείψει τὲς ὁσίες αὐτῦ, εἰς τὸν αἰῶνα φυλαχθήσονται.

Ἄνομοι δὲ ἐκδιωχθήσονται, ἢ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται.

Δίκαιοι δὲ κληρονομήσεσι γῆν, ἢ κατασκηνώσεσιν εἰς αἰῶνα αἰῶνος ἐπ᾽ αὐτῆς.

Στόμα δικαίε μελετήσει σοφίαν, ἢ ἡ γλῶσσα αὐτῦ λαλήσει κρίσιν.

Ὁ νόμος τῦ Θεῦ αὐτῦ ἐν καρδίᾳ αὐτῦ, ἢ ὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτῦ.

Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, ἢ ζητεῖ τῦ θανατῶσαι αὐτόν.

Ὁ δὲ Κύριος ὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτῦ, ὐδ᾽ ὐ μὴ καταδικάσηται αὐτὸν, ὅταν κρίνηται αὐτῷ.

Ὑπόμεινον τὸν Κύριον, ἢ φύλαξον τὴν ὁδὸν αὐτῦ, ἢ ὑψώσει σε, τῦ κατακληρονομῆσαι γῆν. ἐν τῷ ἐξολοθρεύεσθαι ἁματωλὲς ὄψει.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εἶδον τὸν ἀσεβῆ ὑπερυψέμενον, ᾗ ἐπαιρόμενον, ὡς τὰς κέδρες τῦ Λιβάνε.

Καὶ παρῆλθον, ᾗ ἰδὲ ἐκ ἦν· ᾗ ἐζήτησα αὐτὸν, καὶ ἐχ' εὑρέθη ὁ τόπος αὐτῦ.

Φύλασσε ἀκακίαν, ᾗ ἴδε εὐθύτητα, ὅτι ἐςὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.

Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτό. Τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται.

Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίε, ᾗ ὑπερασπιςὴς αὐτῶν ἐςὶν ἐν καιρῷ θλίψεως.

Καὶ βοηθήσοι αὐτοῖς Κύριος, καὶ ῥύσεται αὐτές. Καὶ ἐξελεῖται αὐτὲς ἐξ ἁμαρτωλῶν, ᾗ σώσει αὐτὲς ὅτι ἤλπισαν ἐπ' αὐτόν.

Δόξα, ᾗ νῦν. ἀλληλέια.

### Τὸ Τρισάγιον, εἶτα τὰ Τροπάρια. ἦχος πλ'. ά.

Φοβερός σε ὁ θρόνος, πονηρός με ὁ βίος, καὶ τίς με λυτρώσεται τῆς τότε ἀνάγκης εἰμὴ συμπαθήσῃς με Χριςὲ ὁ Θεὸς, ὡς οἰκτίρμων, καὶ φιλάνθρωπος. Δόξα.

Ἡ μελέτη τῦ βίε ἐξέβαλέ με τῦ παραδείσε, ᾗ τί ποιήσω ὁ ἀπεγνωσμένος· διὰ τῦτο κρέω τῇ πύλῃ ᾗ κράζω, Κύριε Κύριε ἄνοιξόν μοι διὰ τῆς μετανοίας, ᾗ σῶσόν με. Καὶ νῦν.

Τίνα καλέσωμεν τὸν ναόν σε Θεοτόκε, λιμένα πνευματικὸν, παράδεισον τρυφῆς ἐπεράνιε, πρόξενον ζωῆς ἀτελευτήτε. Πάντα γὰρ ἔχεις τὰ καλὰ, πάντοτε πρέσβευε Χριςῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Τὸ Κύριε ἐλέησον μ'. ᾗ ἡ εὐχή.

Ὁ Θεὸς ὁ δίκαιος ᾗ αἰνετὸς ὁ Θεὸς, ὁ μέγας ᾗ ἰσχυρὸς, ὁ Θεὸς ὁ Προαιώνιος, εἰσάκεσον ἁμαρτωλῦ ἀνδρὸς εὐχῆς τῇ ὥρᾳ ταύτῃ· ἐπάκεσόν με ὁ ἐπαγγειλάμενος ἐπακέειν τῶν ἐν ἀληθείᾳ, σε ἐπικαλεμένων, καὶ μὴ βδελύξῃ με τὸν ἀκάθαρτα χείλη ἔχοντα, καὶ ἐν ἁμαρτίαις συνεχόμενον· ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐπὶ ξένοις μακράν. Ἐπιλαβῦ ὅπλε καὶ θυρεῦ, ᾗ ἀνάςηθι εἰς τὴν βοήθειάν με. Ἔκχεον ῥομφαίαν ᾗ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδικαζόντων με. Ἐπιτίμησον τοῖς ἀκαθάρτοις πνεύμασιν ἀπὸ προσώπε τῆς ἀφροσύνης



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

μου, καὶ ὑπαναχωρησάτω ἀπὸ τῆς ἐμῆς διανοίας, πνεῦμα μίσους καὶ μνησικακίας, πνεῦμα φθόνου καὶ δόλου, πνεῦμα δειλίας καὶ ἀκηδίας, πνεῦμα ὑπερηφανίας καὶ πάσης ἄλλης κακίας, καὶ κατασβεσθείτω μου πᾶσα πύρωσις καὶ κίνησις σαρκὸς ἐκ διαβολικῆς ἐνεργείας συνισταμένη, καὶ φωτισθείτω μου ἡ ψυχὴ καὶ τὸ σῶμα καὶ τὸ πνεῦμα τῷ φωτὶ τῆς σῆς θείας γνώσεως· ἵνα τῶν οἰκτιρμῶν σου τῷ πλήθει καταντήσας εἰς τὴν ἑνότητα τῆς πίστεως, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας δοξάσω σὺν Ἀγγέλοις καὶ πᾶσι τοῖς ἁγίοις σου τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ Ε'ΚΤΟΝ.

## ΨΑΛΜΟ'Σ ΤΩ͂ ΔΑΒΙ'Δ.

Εἰς ἀνάμνησιν περὶ τȣ͂ Σαββάτȣ. λζ΄. 37.

Κύριε, μὴ τῷ θυμῷ σȣ ἐλέγξῃς με, μὴ δὲ τῇ ὀργῇ σȣ παιδεύσῃς με.

Ο῞τι τὰ βέλη σȣ ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σȣ.

Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μȣ ἀπὸ προσώπȣ τῆς ὀργῆς σȣ· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μȣ ἀπὸ προσώπȣ τῶν ἁμαρτιῶν μȣ.

Ο῞τι αἱ ἀνομίαι μȣ ὑπερῆραν τὴν κεφαλήν μȣ, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.

Προσώζεσαν, καὶ ἐσάπησαν οἱ μώλωπές μȣ ἀπὸ προσώπȣ τῆς ἀφροσύνης μȣ.

Ε᾿ταλαιπώρησα, καὶ κατεκάμφθην ἕως τέλȣς, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ο῞τι αἱ ψόαι μȣ ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μȣ.

Ε᾿κακώθην, καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμȣ͂ τῆς καρδίας μȣ.

Κύριε, ἐναντίον σȣ πᾶσα ἡ ἐπιθυμία μȣ, καὶ ὁ στεναγμός μȣ ἀπὸ σȣ͂ οὐκ ἀπεκρύβη.

Η῾ καρδία μȣ ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μȣ, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μȣ, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμȣ͂.

Οἱ φίλοι μȣ, καὶ οἱ πλησίον μȣ ἐξ ἐναντίας μȣ ἤγγισαν καὶ ἔστησαν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.
Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου.
Καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, ϗ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, ϗ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.
Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.
Ὅτι ἐπὶ σοὶ Κύριε ἤλπισα, σὺ εἰσακούσῃ Κύριε ὁ Θεός μου.
Ὅτι εἶπον, μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, ϗ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησαν.
Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, ϗ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διαπαντός.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, ϗ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
Οἱ δὲ ἐχθροί μου ζῶσι, ϗ κεκραταίωνται ὑπὲρ ἐμὲ, ϗ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.
Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν, ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
Μὴ ἐγκαταλίπῃς με Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

Εἰς τὸ τέλος.

Τῷ Ἰδιθοὺμ ᾠδὴ τῷ Δαβίδ. λη΄. 38.

Εἶπα, φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου.
Ἐθέμην τῷ στόματί μου φυλακὴν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.
Ἐκωφώθην, ϗ ἐταπεινώθην, ϗ ἐσίγησα ἐξ ἀγαθῶν, ϗ τὸ ἄλγημά μου ἀνεκαινίσθη.
Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, ϗ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ.
Ἐλάλησα ἐν γλώσσῃ μου. γνώρισόν μοι Κύριε τὸ πέρας μου.
Καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, τίς ἐστιν; ἵνα γνῶ τί ὑστερῶ ἐγώ.
Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου, ϗ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλιών

Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν.
Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται.
Θησαυρίζει ϗ ἐ γινώσκει τίνι συνάξει αὐτά.
Καὶ νῦν, τίς ἡ ὑπομονή με; Οὐχὶ Κύριος; καὶ ἡ ὑπόςασίς με παρὰ σε ἐςίν.
Ἀπὸ πασῶν τῶν ἀνομιῶν με ῥῦσαί με, ὄνειδος ἄφρονι ἔδωκάς με.
Ἐκωφώθην, ϗ ἐκ ἤνοιξα τὸ ςόμα με, ὅτι σὺ ἐποίησας. Ἀπόςησον ἀπ' ἐμε τὰς μάςιγάς σε.
Ἀπὸ γὰρ τῆς ἰχύος τῆς χειρός σε ἐγὼ ἐξέλιπον. Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον.
Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτε. Πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος.
Εἰσάκεσον τῆς προσευχῆς με Κύριε, ϗ τῆς δεήσεώς με. Ἐνώτισαι τῶν δακρύων με.
Μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοὶ, ϗ παρεπίδημος, καθὼς πάντες οἱ Πατέρες με.
Ἄνες μοι, ἵνα ἀναψύξω πρὸ τε με ἀπελθεῖν, ϗ ἐκ ἔτι ἐ μὴ ὑπάρξω.

Εἰς τὸ τέλος

## ΨΑΛΜΟΣ ΤΩ͂ ΔΑΒΙΔ. λθ'. 39.

Ὑπομένων, ὑπέμεινα τὸν Κύριον, ϗ προσέσχε μοι, ϗ εἰσήκεσε τῆς δεήσεώς με.
Καὶ ἀνήγαγέ με ἐκ λάκκε ταλαιπωρίας, ϗ ἀπὸ πηλε ἰλύος.
Καὶ ἔςησεν ἐπὶ πέτραν τὲς πόδας με, ϗ κατεύθυνε τὰ διαβήματά με.
Καὶ ἐνέβαλεν εἰς τὸ ςόμα με ᾆσμα καινὸν, ὕμνον τῷ Θεῷ ἡμῶν.
Ὄψονται πολλοὶ, ϗ φοβηθήσονται, ϗ ἐλπιεσιν ἐπὶ Κύριον.
Μακάριος ἀνὴρ, ὃ ἐςι τὸ ὄνομα Κυρίε ἐλπὶς αὐτε, ϗ ἐκ ἐπέβλεψεν εἰς ματαιότητας, ϗ μανίας ψευδεῖς.
Πολλὰ ἐποίησας σὺ Κύριε ὁ Θεός με τὰ θαυμάσιά σε, ϗ τοῖς διαλογισμοῖς σε ἐκ ἔςι τὶς ὁμοιωθήσεταί σοι.
Ἀπήγγειλα, ϗ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.
Θυσίαν ϗ προσφορὰν ἐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι.
Ὁλοκαυτώματα ϗ περὶ ἁμαρτίας ἐκ ἐζήτησας. τότε εἶπον, ἰδε ἥκω.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μυλεών

Ἐν κεφαλίδι βιβλίε γέγραπται περὶ ἐμε͂, τε͂ ποιῆσαι τὸ θέλημά σε ὁ Θεός με ἠβελήθην, ϗ τὸν νόμον σε ἐν μέσῳ τῆς κοιλίας με.
Εὐηγγελισάμην δικαιοσύνην ἐν Ἐκκλησίᾳ μεγάλῃ. Ἰδε͂ τὰ χείλη με ἐ μὴ κωλύσω. Κύριε, σὺ ἔγνως.
Τὴν δικαιοσύνην σε ἐκ ἔκρυψα ἐν τῇ καρδίᾳ με, τὴν ἀλήθειάν σε ϗ τὸ σωτήριόν σε εἶπα.
Οὐκ ἔκρυψα τὸ ἔλεός σε, καὶ τὴν ἀλήθειάν σε ἀπὸ συναγωγῆς πολλῆς.
Σὺ δὲ Κύριε, μὴ μακρύνῃς τὲς οἰκτιρμές σε ἀπ᾽ ἐμε͂. Τὸ ἔλεός σε, ϗ ἡ ἀλήθειά σε διαπαντὸς ἀντιλάβοιτό με.
Ὅτι περιέχον με κακὰ, ὧν ἐκ ἔςιν ἀριθμός. Κατέλαβόν με αἱ ἀνομίαι με, ϗ ἐκ ἠδυνήθην τε͂ βλέπειν.
Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς με, ϗ ἡ καρδία με ἐγκατέλιπέ με.
Εὐδόκησον Κύριε τε͂ ῥύσασθαί με. Κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες.
Καταισχυνθείησαν, ϗ ἐντραπείησαν ἅμα οἱ ζητε͂ντες τὴν ψυχήν με τε͂ ἐξᾶραι αὐτήν.
Ἀποςραφείησαν εἰς τὰ ὀπίσω, ϗ καταισχυνθείησαν οἱ θέλοντές μοι κακά.
Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν, οἱ λέγοντές μοι, εὖγε, εὖγε.
Ἀγαλλιάσθωσαν, ϗ εὐφρανθήτωσαν, ἐπὶ σοὶ πάντες οἱ ζητε͂ντές σε Κύριε, ϗ εἰπάτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σε.
Ἐγὼ δὲ πτωχός εἰμι, ϗ πένης. Κύριος φροντιε͂ με.
Βοηθός με, ϗ ὑπερασπιςής με εἶ σὺ, ὁ Θεός με, μὴ χρονίσῃς.

Δόξα, ϗ νῦν Ἀλληλέϊα.

Εἰς τὸ τέλος.

## ΨΑΛΜΟΣ ΤΩ͂ι ΔΑΒΙΔ. μ'. 40.

Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν, ϗ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.
Κύριος διαφυλάξαι αὐτὸν, ϗ ζῆσαι αὐτὸν, ϗ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, ϗ μὴ παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτε͂.

Δημόσια Βιβλιοθήκη Μηλεών

Κύ-

Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ. ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ.

Ἐγὼ εἶπα. Κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἡμαρτόν σοι.

Οἱ ἐχθροί μου εἶπον κακά μοι. πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ.

Καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν. Μάτην ἐλάλει ἡ καρδία αὐτοῦ. Συνήγαγεν ἀνομίαν ἑαυτῷ.

Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό.

Κατ᾽ ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ᾽ ἐμοῦ ἐλογίζοντο κακά μοι.

Λόγον παράνομον κατέθεντο κατ᾽ ἐμοῦ. Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;

Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ᾽ ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ᾽ ἐμὲ πτερνισμόν.

Σὺ δὲ Κύριε ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.

Ἐν τούτῳ ἔγνων, ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ᾽ ἐμέ.

Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ἀπὸ τοῦ αἰῶνος, καὶ εἰς τὸν αἰῶνα, γένοιτο, γένοιτο.

Εἰς τὸ τέλος.

Εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ, μά. 41.

Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός.

Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν, τὸν ζῶντα. πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;

Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος, ἡμέρας καὶ νυκτός. Ἐν τῷ λέγεσθαί μοι καθ᾽ ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου;

Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ᾽ ἐμὲ τὴν ψυχήν μου· ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ.

Ἐν φωνῇ ἀγαλλιάσεως, καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος.

Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;

Ἐλ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τȣ̃ προσώπȣ μȣ, ϗ ὁ Θεός μȣ.

Πρὸς ἐμαυτὸν ἡ ψυχή μȣ ἐταράχθη· διὰ τȣ̃το μνησθήσομαί σȣ ἐκ γῆς Ἰορδάνȣ, ϗ Ἑρμωνιεὶμ, ἀπὸ ὄρȣς μικρȣ̃.

Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται, εἰς φωνὴν τῶν καταῤῥακτῶν σȣ.

Πάντες οἱ μετεωρισμοί σȣ, ϗ τὰ κύματά σȣ ἐπ' ἐμὲ διῆλθον,

Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτȣ̃, ϗ νυκτὸς ᾠδὴ αὐτῷ παῤ ἐμοί.

Προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μȣ. ἐρῶ τῷ Θεῷ, ἀντιλήπτωρ μȣ εἶ.

Διὰ τί μȣ ἐπελάθȣ; ϗ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μȣ;

Ἐν τῷ καταθλᾶσθαι τὰ ὀςᾶ μȣ, ὠνείδιζόν με οἱ ἐχθροί μȣ.

Ἐν τῷ λέγειν αὐτȣ́ς μοι καθ' ἑκάςην ἡμέραν, πȣ̃ ἐςιν ὁ Θεός σȣ; Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μȣ, ϗ ἵνα τί συνταράσσεις με;

Ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τȣ̃ προσώπȣ μȣ, ϗ ὁ Θεός μȣ.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ.

*Ἀνεπίγραφος παρ' Ἑβραίοις. μβ'* 42.

Κρῖνόν μοι ὁ Θεὸς, ϗ δίκασον τὴν δίκην μȣ, ἐξ ἔθνȣς ȣ̓χ ὁσίȣ. Ἀπὸ ἀνθρώπȣ ἀδίκȣ, ϗ δολίȣ ῥῦσαί με.

Ὅτι σὺ εἶ ὁ Θεὸς, κραταίωμά μȣ. Ἵνα τὶ ἀπώσω με, ϗ ἵνα τί σκυθρωπάζων πορεύομαι, ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μȣ;

Ἐξαπόςειλον τὸ φῶς σȣ, ϗ τὴν ἀλήθειάν σȣ. Αὐτά με ὡδήγησαν, ϗ ἤγαγόν με εἰς ὄρος ἅγιόν σȣ, ϗ εἰς τὰ σκηνώματά σȣ.

Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαςήριον τȣ̃ Θεȣ̃, πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μȣ.

Ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ ὁ Θεὸς ὁ Θεός μȣ. Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μȣ; ϗ ἵνα τί συνταράσσεις με;

Ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ σωτήριον τȣ̃ προσώπȣ μȣ, ϗ ὁ Θεός μȣ.

*Δόξα, καὶ νῦν Ἀλληλȣ́ϊα.*

Δημόσια Βιβλιοθήκη Μηλεών

Εἰς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἰς τὸ τέλος.

Εἰς σύνεσιν τοῖς υἱοῖς Κορὲ μγʹ. 43.

Ο Θεὸς, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκέσαμεν, ϗ οἱ Πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν.

Ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.

Ἡ χείρ σε Ἔθνη ἐξωλόθρευσε, ϗ κατεφύτευσας αὐτὲς, ἐκάκωσας λαὲς, ϗ ἐξέβαλες αὐτές.

Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, ϗ ὁ βραχίων αὐτῶν ἐκ ἔσωσεν αὐτές.

Ἀλλ' ἡ δεξιά σε, ϗ ὁ βραχίων σε, ϗ ὁ φωτισμὸς τε προσώπε σε, ὅτι εὐδόκησας ἐν αὐτοῖς.

Σὺ εἶ αὐτὸς ὁ Βασιλεύς με, ϗ ὁ Θεός με, ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ.

Ἐν σοὶ τὲς ἐχθρὲς ἡμῶν κερατιεμεν, ϗ ἐν τῷ ὀνόματί σε ἐξεδενώσομεν τὲς ἐπανιςαμένες ἡμῖν.

Οὐ γὰρ ἐπὶ τῷ τόξῳ με ἐλπιῶ, ϗ ἡ ῥομφαία με ἐ σώσει με.

Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, ϗ τὲς μισεντας ἡμᾶς κατῄσχυνας.

Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν, ϗ ἐν τῷ ὀνόματί σε ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.

Νυνὶ δὲ ἀπώσω, ϗ κατῄσχυνας ἡμᾶς, ϗ ἐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν.

Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τὲς ἐχθρὲς ἡμῶν, καὶ οἱ μισεντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.

Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, ϗ ἐν τοῖς Ἔθνεσι διέσπειρας ἡμᾶς.

Ἀπέδε τὸν λαόν σε ἄνευ τιμῆς, ϗ ἐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν ἡμῶν.

Ἔθε ἡμᾶς ὄνειδος τοῖς γείτωσιν ἡμῶν, μυκτηρισμὸν, ϗ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν.

Ἔθε ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.

Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή με κατεναντίον με ἐςὶ, ϗ ἡ αἰσχύνη τε προσώπε με ἐκάλυψέ με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀπὸ φωνῆς ὀνειδίζοντος, ϗ καταλαλȣ͂ντος, ἀπὸ προσώπȣ ἐχθρȣ͂ ϗ ἐκδιώκοντος.

Ταῦτα πάντα ἦλθεν ἐφ᾽ ἡμᾶς, ϗ ȣ̓κ ἐπελαθόμεθά σȣ, ϗ ȣ̓κ ἠδικήσαμεν ἐν τῇ διαθήκῃ σȣ.

Καὶ ȣ̓κ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, ϗ ἐξέκλινας τὰς τρίβȣς ἡμῶν ἀπὸ τῆς ὁδȣ͂ σȣ.

Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως, ϗ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτȣ.

Εἰ ἐπελαθόμεθα τȣ͂ ὀνόματος τȣ͂ Θεȣ͂ ἡμῶν, ϗ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον.

Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; Αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας.

Ὅτι ἕνεκά σȣ θανατȣ́μεθα ὅλην τὴν ἡμέραν. ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.

Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς Κύριε; Ἀνάστηθι, ϗ μὴ ἀπώσῃ εἰς τέλος.

Ἵνα τί τὸ πρόσωπόν σȣ ἀποστρέφεις; ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν, ϗ τῆς θλίψεως ἡμῶν.

Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.

Ἀνάστα Κύριε, ϗ βοήθησον ἡμῖν, ϗ λύτρωσαι ἡμᾶς ἕνεκεν τȣ͂ ὀνόματός σȣ.

Εἰς τὸ τέλος

Ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς Κορὲ, εἰς σύνεσιν· ᾠδὴ, ὑπὲρ τȣ͂ ἀγαπητȣ͂. μδ΄. 44.

Ἐξηρεύξατο ἡ καρδία μȣ λόγον ἀγαθὸν, λέγω ἐγὼ τὰ ἔργα μȣ τῷ Βασιλεῖ.

Ἡ γλῶσσά μȣ, κάλαμος γραμματέως ὀξυγράφȣ.

Ὡραῖος κάλλει παρὰ τȣ̀ς Υἱȣ̀ς τῶν ἀνθρώπων. ἐξεχύθη χάρις ἐν χείλεσί σȣ, διὰ τȣ͂το εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.

Περίζωσαι τὴν ῥομφαίαν σȣ ἐπὶ τὸν μηρόν σȣ δυνατέ.

Τῇ ὡραιότητί σȣ, ϗ τῷ κάλλει σȣ. Καὶ ἔντεινε ϗ κατευοδȣ͂, ϗ βασίλευε, ἕνεκεν ἀληθείας, ϗ πρᾳότητος ϗ δικαιοσύνης, ϗ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σȣ.

Τὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Τὰ βέλη σε ἠκονημένα δυνατέ. Λαοὶ ὑποκάτω σε πεσῆνται, ἐν καρδίᾳ τῶν ἐχθρῶν τε Βασιλέως.

Ο θρόνος σε ὁ Θεὸς εἰς τὸν αἰῶνα τε αἰῶνος. Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σε.

Ἠγάπησας δικαιοσύνην, ϗ ἐμίσησας ἀνομίαν. Διὰ τετο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σε, ἔλαιον ἀγαλλιάσεως παρὰ τὲς μετόχες σε.

Σμύρνα, ϗ ςακτὴ, ϗ κασσία ἀπὸ τῶν ἱματίων σε. ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν εὔφρανάν σε θυγατέρες Βασιλέων ἐν τῇ τιμῇ σε.

Παρέςη ἡ Βασίλισσα ἐκ δεξιῶν σε, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

Ἄκεσον θύγατερ, ϗ ἴδε, ϗ κλῖνον τὸ ἐς σε, ϗ ἐπιλάθε τε λαε σε, ϗ τε οἴκε τε Πατρός σε.

Καὶ ἐπιθυμήσει, ὁ Βασιλεὺς τε κάλλες σε, ὅτι αὐτός ἐςι Κύριός σε, ϗ προσκυνήσεις αὐτῷ.

Καὶ θυγάτηρ Τύρε ἐν δώροις, τὸ πρόσωπόν σε λιτανεύσεσιν οἱ πλέσιοι τε λαε.

Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τε Βασιλέως ἔσωθεν. ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη.

Ἀπενεχθήσονται τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς. αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.

Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ ϗ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν Βασιλέως.

Ἀντὶ τῶν Πατέρων σε ἐγενήθησαν οἱ Υἱοί σε. Καταςήσεις αὐτὲς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

Μνησθήσομαι τε ὀνόματός σε ἐν πάσῃ γενεᾷ, ϗ γενεᾷ.

Διὰ τετο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, ϗ εἰς τὸν αἰῶνα τε αἰῶνος.

Εἰς τὸ τέλος.

Ὑπὲρ τῶν υἱῶν Κορὲ, ὑπὲρ τῶν κρυφίων.

## ΨΑΛΜΟ'Σ ΤΩ͂ ΔΑΒΙ'Δ. με. 45.

Ο Θεὸς ἡμῶν καταφυγὴ, ϗ δύναμις, βοηθὸς ἐν θλίψεσι, ταῖς εὑρέσαις ἡμᾶς σφόδρα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, ϗ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.

Ἤχησαν, ϗ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν. ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.

Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιςος.

Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, ϗ οὐ σαλευθήσεται. Βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ πρωΐ.

Ἐταράχθησαν Ἔθνη, ἔκλιναν βασιλεῖαι. ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψιςος, ἐσαλεύθη ἡ γῆ.

Κύριος τῶν δυνάμεων μεθ᾽ ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

Δεῦτε, ϗ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς.

Ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς.

Τόξον συντρίψει, ϗ συνθλάσει ὅπλον, ϗ θυρεοὺς κατακαύσει ἐν πυρί.

Σχολάσατε, ϗ γνῶτε, ὅτι ἐγὼ εἰμὶ ὁ Θεός. Ὑψωθήσομαι ἐν τοῖς Ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.

Κύριος τῶν δυνάμεων μεθ᾽ ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

Δόξα, καὶ νῦν Ἀλληλούϊα.

Τὸ Τρισάγιον, εἶτα τὰ Τροπάρια. ἦχος Γ΄.

Τὴν αἴνεσιν προσάγω σοι Κύριε τὰ πταίσματά μου πάντα ἐξαγγέλω σοι, ὁ Θεὸς ἐπιςρέψας ἐλέησόν με. Δόξα.

Σῶσον με ὁ Θεός μου ὡς ποτὲ τὸν τελώνην ἔσωσας, ϗ τῆς πόρνης τὰ δάκρυα μὴ παραβλέψας. κἀμοῦ τοὺς ςεναγμοὺς πρόσδεξαι σωτήρ μου ϗ σῶσόν με. Καὶ νῦν.

Ἱκέτης νῦν προσέρχομαι τῇ σκέπῃ σου πανάμωμε, ἀλλὰ ῥῦσαι με θεογεννῆτορ τῆς τῶν παθῶν συγχύσεως, ὡς ἀπαθείας αἴτιον κυήσασα.

Τὸ Κύριε ἐλέησον μ΄ ϗ ἡ εὐχή.

Εὐχαριςοῦμεν σοι Κύριε ὁ Θεὸς ἡμῶν ὑπὲρ πασῶν τῶν εὐεργεσιῶν σου, τῶν ἐκ πρώτης ἡλικίας μέχρι τῆς παρούσης εἰς ἡμᾶς τοὺς ἀναξίους γεγενημένων, ὑπὲρ ὧν ἴσμεν, ϗ

ὧν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

οὐκ ἴσμεν, ὑπὲρ τῶν φανερῶν καὶ τῶν ἀφανῶν τῶν ἐν ἔργῳ γενομένων, καὶ ἐν λόγῳ, ὁ ἀγαπήσας ἡμᾶς, ὥστε τὸν μονογενῆ σου υἱὸν δοῦναι ὑπὲρ ἡμῶν· καταξίωσον καὶ ἡμᾶς ἀξίους γενέσθαι τῆς σῆς ἀγάπης. δὸς ἐν τῷ λόγῳ σου σοφίαν· καὶ ἐν τῷ φόβῳ σου ἔμπνευσον ἰσχὺν τῇ παρὰ σοῦ δυνάμει, καὶ εἴτι ἑκόντες ἢ ἀκόντες ἡμάρτωμεν, συγχώρησον, καὶ μὴ λογίσῃ· καὶ φύλαξον τὴν ψυχὴν ἡμῶν ἁγίαν, καὶ παράστησον αὐτὴν τῷ σῷ βήματι συνείδησιν ἔχουσαν καθαράν, καὶ τέλος ἄξιον τῆς φιλανθρωπίας σου· καὶ μνήσθητι Κύριε πάντων τῶν ἐπικαλουμένων τὸ ὄνομά σου, ἐν ἀληθείᾳ, μνήσθητι πάντων, τῶν εὖ, καὶ τῶν τὰ ἐναντία ἡμῖν θελόντων. Πάντες γὰρ ἄνθρωποι ἐσμέν, καὶ μάτην πᾶς ἄνθρωπος· διὸ δεόμεθά σου Κύριε παράσχου ἡμῖν τῆς σῆς εὐσπλαγχνίας τὸ μέγα ἔλεος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ Ε"ΒΔΟΜΟΝ.

Εἰς τὸ τέλος.

Υ'πὲρ τῶν υἱῶν Κορέ. Ψαλμός. μϛ'. 46.

Πάντα τὰ Ε"θνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.
Ο"τι Κύριος ὕψιςος, φοβερὸς, Βασιλεὺς, μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
Υ'πέταξε λαὲς ἡμῖν, ϗ Ε"θνη ὑπὸ τὲς πόδας ἡμῶν.
Ε'ξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτῷ, τὴν καλλονὴν Ι'ακὼβ, ἣν ἠγάπησεν.
Α'νέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Κύριος ἐν φωνῇ σάλπιγγος.
Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ Βασιλεῖ ἡμῶν ψάλατε.
Ο"τι Βασιλεὺς πάσης τῆς γῆς ὁ Θεὸς, ψάλατε συνετῶς.
Ε'βασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ Ε"θνη. ὁ Θεὸς κάθηται ἐπὶ θρόνε ἁγίε αὐτε.
Α"ρχοντες λαῶν συνήχθησαν μετὰ τε Θεε Α'βραὰμ, ὅτι τε Θεε οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

Ψαλμὸς ᾠδῆς τῆς υἱοῖς Κορὲ, δευτέρᾳ Σαββάτε. μζ'. 47.

Μέγας Κύριος, ϗ αἰνετὸς σφόδρα, ἐν πόλει τε Θεε ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτε.

Εὐ-

Δημόσια Βιβλιοθήκη Μηλεῶν
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εὐρίζω ἀγαλλιάματι πάσης τῆς γῆς. Ὄρη Σιὼν, τὰ πλευρὰ τȣ̃ Βοῤῥᾶ, ἡ πόλις τȣ̃ Βασιλέως τȣ̃ μεγάλȣ.

Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς.

Ὅτι ἰδȣ̀ οἱ Βασιλεῖς τῆς γῆς συνήχθησαν, διήλθοσαν ἐπὶ τὸ αὐτό.

Αὐτοὶ ἰδόντες, ἕτως ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο αὐτῶν.

Ἐκεῖ ὠδῖνες ὡς τικτȣ́σης, ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς.

Καθάπερ ἠκȣ́σαμεν, ȣ̌τω καὶ εἴδομεν ἐν πόλει Κυρίȣ τῶν δυνάμεων, ἐν πόλει τȣ̃ Θεȣ̃ ἡμῶν.

Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. Ὑπελάβομεν ὁ Θεὸς τὸ ἔλεός σȣ ἐν μέσῳ τȣ̃ λαȣ̃ σȣ.

Κατὰ τὸ ὄνομά σȣ ὁ Θεὸς, ȣ̌τω καὶ ἡ αἴνεσίς σȣ ἐπὶ τὰ πέρατα τῆς γῆς. Δικαιοσύνης πλήρης ἡ δεξιά σȣ.

Εὐφρανθήτω ὄρος Σιὼν, καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰȣδαίας, ἕνεκεν τῶν κριμάτων σȣ Κύριε.

Κυκλώσατε Σιὼν, καὶ περιλάβετε αὐτὴν, διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς.

Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν.

Ὅτι ȣ̃τός ἐςιν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τȣ̃ αἰῶνος. Αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τȣ̀ς αἰῶνας.

Εἰς τὸ τέλος.

Τοῖς υἱοῖς Κορὲ, Ψαλμὸς. μή. 48.

Ἀκȣ́σατε ταῦτα πάντα τὰ Ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικȣ̃ντες τὴν Οἰκȣμένην.

Οἵτε γηγενεῖς καὶ Υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλȣ́σιος καὶ πένης.

Τὸ ςόμα μȣ λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μȣ σύνεσιν.

Κλινῶ εἰς παραβολὴν τὸ ȣ̃ς μȣ, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μȣ.

Ἵνα τί φοβȣ̃μαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνομία τῆς πτέρνης μȣ κυκλώσει με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι.

Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος, οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ.

Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ. καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος.

Οὐκ ὄψεται καταφθορὰν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας. Ἐπὶ τὸ αὐτὸ ἄφρων, καὶ ἄνους ἀπολοῦνται.

Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν, καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα.

Σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν.

Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε. παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

Αὕτη ἡ ὁδὸς αὐτῶν, σκάνδαλον αὐτοῖς, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν.

Ὡς πρόβατα ἐν ᾅδῃ ἔθετο. Θάνατος ποιμανεῖ αὐτούς.

Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωῒ, καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ. Ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν.

Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με.

Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ.

Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.

Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται. Ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτῷ.

Εἰσελεύσεται, ἕως γενεᾶς Πατέρων αὐτοῦ. Ἕως αἰῶνος οὐκ ὄψεται φῶς.

Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε. παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

Δόξα σοι Κύριε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

## ΨΑΛΜΟ'Σ ΤΩ͂ Α'ΣΑ'Φ. μθ'. 49.

Θεὸς Θεῶν Κύριος ἐλάλησε, ϗ ἐκάλεσε τὴν γῆν.

Α'πὸ ἀνατολῶν ἡλίȣ μέχρι δυσμῶν. Ε'κ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτȣ͂.

Ο' Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, ϗ ȣ͗ παρασιωπήσεται.

Πῦρ ἐνώπιον αὐτȣ͂ καυθήσεται, ϗ κύκλῳ αὐτȣ͂ καταιγὶς σφοδρά.

Προσκαλέσεται τὸν Οὐρανὸν ἄνω, ϗ τὴν γῆν τȣ͂ διακρῖναι τὸν λαὸν αὐτȣ͂.

Συναγάγετε αὐτῷ τȣ̀ς ὁσίȣς αὐτȣ͂, τȣ̀ς διατιθεμένȣς τὴν διαθήκην αὐτȣ͂ ἐπὶ θυσίαις.

Καὶ ἀναγγελȣ͂σιν οἱ Οὐρανοὶ τὴν δικαιοσύνην αὐτȣ͂, ὅτι ὁ Θεὸς κριτής ἐστιν.

Α'κȣσον λαός μȣ, καὶ λαλήσω σοι Ι'σραὴλ, ϗ διαμαρτύρομαί σοι ὁ Θεὸς ὁ Θεός σȣ εἰμὶ ἐγώ.

Οὐκ ἐπὶ ταῖς θυσίαις σȣ ἐλέγξω σε. Τὰ δὲ ὁλοκαυτώματά σȣ ἐνώπιόν μȣ ἐστὶ διαπαντός.

Οὐ δέξομαι ἐκ τȣ͂ οἴκȣ σȣ μόσχȣς, ȣ͗δὲ ἐκ τῶν ποιμνίων σȣ χιμάρȣς.

Ο'τι ἐμά ἐστι πάντα τὰ θηρία τȣ͂ ἀγρȣ͂, κτήνη ἐν τοῖς ὄρεσι, ϗ βόες.

Ε'γνωκα πάντα τὰ πετεινὰ τȣ͂ Οὐρανȣ͂, ϗ ὡραιότης ἀγρȣ͂ μετ' ἐμȣ͂ ἐστίν.

Ε'ὰν πεινάσω, ȣ͗ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν ἡ Οἰκȣμένη, ϗ τὸ πλήρωμα αὐτῆς.

Μὴ φάγωμαι κρέα ταύρων, ἢ αἷμα τράγων πίωμαι;

Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, ϗ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σȣ.

Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σȣ, ϗ ἐξελȣ͂μαί σε, ϗ δοξάσεις με.

Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεὸς, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μȣ, ϗ ἀναλαμβάνεις τὴν διαθήκην μȣ διὰ στόματός σȣ;

Σὺ δὲ ἐμίσησας παιδείαν, ϗ ἐξέβαλες τȣ̀ς λόγȣς μȣ εἰς τὰ ὀπίσω.

Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ ϗ μετὰ μοιχȣ͂ τὴν μερίδα σȣ ἐτίθεις.

Τὸ στόμα σȣ ἐπλεόνασε κακίαν, ϗ ἡ γλῶσσά σȣ περιέπλεκε δολιότητας.

Καθήμενος κατὰ τȣ͂ ἀδελφȣ͂ σȣ κατελάλεις· ϗ κατὰ τȣ͂ υἱȣ͂ τῆς μητρός σȣ ἐτίθεις σκάνδαλον. Ταῦτα ἐποίησας, ϗ ἐσίγησα.

 Υ'πε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Υπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος. Ἐλέγξω σε, ϗ παραστήσω κατὰ πρόσωπόν σȣ τὰς ἁμαρτίας σȣ.

Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τȣ̃ Θεȣ̃, μήποτε ἁρπάσῃ ϗ ȣ̓ μὴ ᾖ ὁ ῥυόμενος.

Θυσία αἰνέσεως δοξάσει με, ϗ ἐκεῖ ὁδὸς, ᾗ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Εἰς τὸ τέλος.

ΨΑΛΜΟΣ ΤΩ͂ ΔΑΒΙΔ.

Ἐν τῷ εἰσελθεῖν πρὸς αὐτὸν Νάθαν τὸν Προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεὲ τὴν γυναῖκα Οὐρίȣ, ν'. 50.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σȣ.

Καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σȣ ἐξάλειψον τὸ ἀνόμημά μȣ.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μȣ, ϗ ἀπὸ τῆς ἁμαρτίας μȣ καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μȣ ἐγὼ γινώσκω, ϗ ἡ ἁμαρτία μȣ ἐνώπιόν μȣ ἐστὶ διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, ϗ τὸ πονηρὸν ἐνώπιόν σȣ ἐποίησα. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σȣ, ϗ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδȣ̀ γὰρ ἐν ἀνομίαις συνελήφθην, ϗ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ Μήτηρ μȣ.

Ἰδȣ̀ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα ϗ τὰ κρύφια τῆς σοφίας σȣ ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, ϗ καθαριθήσομαι, πλυνεῖς με, ϗ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκȣτιεῖς μοι ἀγαλλίασιν ϗ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σȣ ἀπὸ τῶν ἁμαρτιῶν μȣ, ϗ πάσας τὰς ἀνομίας μȣ ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, ϗ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μȣ.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τȣ̃ προσώπȣ σȣ, καὶ τὸ Πνεῦμα σȣ τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμȣ̃.

Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀπό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Α'πόδος μοι τὴν ἀγαλλίασιν τῦ σωτηρίυ σε, ἢ Πνεύματι ἡγεμονικῷ σήριξόν με.

Διδάξω ἀνόμες τὰς ὁδές σε, ἢ ἀσεβεῖς ἐπὶ σὲ ἐπιςρέψεσι.

Ρ῾ῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας με. Α'γαλλιάσεται ἡ γλῶσσά με τὴν δικαιοσύνην σε.

Κύριε, τὰ χεῖλη με ἀνοίξεις, ἢ τὸ σόμα με ἀναγγελεῖ τὴν αἴνεσίν σε.

Ο῞τι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἂν, ὁλοκαυτώματα ὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον. καρδίαν συντετριμμένην, ἢ τεταπεινωμένην ὁ Θεὸς ὐκ ἐξεδενώσει.

Α'γάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σε τὴν Σιὼν, ἢ οἰκοδομηθήτω τὰ τέχη Ι῾ερεσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν, ἢ ὁλοκαυτώματα. Τότε ἀνοίσεσιν ἐπὶ τὸ θυσιαςήριόν σε μόσχες.

Δόξα, ἢ νῦν. ἀλληλεΐα.

### Εἰς τὸ τέλος.

Συνέσεως τῷ Δαβίδ. Ε'ν τῷ ἐλθεῖν Δωὴκ τὸν Ι'δεμαῖον, ἢ ἀναγγεῖλαι τῷ Σαὺλ, ἢ εἰπεῖν αὐτῷ, ἦλθε Δαβὶδ εἰς τὸν οἶκον Α'βιμέλεχ. να. 51.

Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν.

Α'δικίαν ἐλογίσατο ἡ γλῶσσά σε. Ω῾σεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.

Η'γάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τῦ λαλῆσαι δικαιοσύνην.

Η'γάπησας πάντα τὰ ῥήματα καταποντισμῦ, γλῶσσαν δολίαν.

Διὰ τῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέλος, ἐκτίλαι σε, ἢ μεταναςεῦσαι σε ἀπὸ σκηνώματός σε, ἢ τὸ ῥίζωμά σε ἐκ γῆς ζώντων.

Ο῎ψονται δίκαιοι, ἢ φοβηθήσονται, ἢ ἐπ᾽ αὐτὸν γελάσονται, ἢ ἐρῦσιν.

Ι'δὲ ἄνθρωπος, ὃς ὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτῦ.

Α'λλ᾽ ἐπήλπισεν ἐπὶ τῷ πλήθει τῦ πλέτε αὐτῦ, ἢ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτῦ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα ὅτι ἐποίησας, καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

Εἰς τὸ τέλος.

Ὑπὲρ Μαελὲθ, συνέσεως τῷ Δαβίδ. νβ. 52.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός.

Διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, οὐκ ἔστι ποιῶν ἀγαθόν.

Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς Υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν Θεόν.

Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. οὐκ ἔστι ποιῶν ἀγαθὸν, οὐκ ἔστιν ἕως ἑνός.

Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν; οἱ κατεσθίοντες τὸν λαόν μου, ἐν βρώσει ἄρτου;

Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο. Ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος.

Ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς.

Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι τὸν Θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ. Ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.

Εἰς τὸ τέλος.

Ἐν ὕμνοις, συνέσεως τῷ Δαβίδ. Ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους, καὶ εἰπεῖν τῷ Σαοὺλ, οὐκ ἰδοὺ Δαβὶδ κέκρυπται παρ᾽ ἡμῖν. νγ. 53.

Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ᾽ ἐμὲ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν.

Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.

Ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου Κύριε, ὅτι ἀγαθόν.

Ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με, ϗ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

Εἰς τὸ τέλος.

Ἐν ὕμνοις συνέσεως τῷ Ἀσάφ. νδʹ. 54.

Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου, ϗ μὴ ὑπερίδῃς τὴν δέησίν μου, πρόσχες μοι, ϗ εἰσάκουσόν μου.

Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, ϗ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, ϗ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.

Ὅτι ἐξέκλιναν ἐπ᾽ ἐμὲ ἀνομίαν, ϗ ἐν ὀργῇ ἐνεκότουν μοι.

Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοὶ, ϗ δειλία θανάτου ἐπέπεσεν ἐπ᾽ ἐμέ.

Φόβος, ϗ τρόμος ἦλθεν ἐπ᾽ ἐμὲ, ϗ ἐκάλυψέ με σκότος.

Καὶ εἶπα· τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς ϗ πετασθήσομαι, ϗ καταπαύσω;

Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, ϗ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

Προσεδεχόμην τὸν Θεὸν τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας, ϗ ἀπὸ καταιγίδος.

Καταπόντισον Κύριε, ϗ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν, ϗ ἀντιλογίαν ἐν τῇ πόλει.

Ἡμέρας ϗ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, ϗ ἀνομία, ϗ κόπος ἐν μέσῳ αὐτῆς, ϗ ἀδικία.

Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος, ϗ δόλος.

Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν.

Καὶ εἰ ὁ μισῶν με ἐπ᾽ ἐμὲ ἐμεγαλοῤῥημόνησεν, ἐκρύβην ἂν ἀπ᾽ αὐτοῦ.

Σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, ϗ γνωστέ μου.

Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.

Ἐλθέτω δὴ θάνατος ἐπ᾽ αὐτοὺς, ϗ καταβήτωσαν εἰς ᾅδου ζῶντες.

Ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν.

Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, ϗ ὁ Κύριος εἰσήκουσέ μου.

Ἐσπέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἑσπέρας ϗ πρωῒ, ϗ μεσημβρίας διηγήσομαι, ϗ ἀπαγγελῶ, ϗ εἰσακȣ́σεται τῆς φωνῆς μȣ.

Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μȣ ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.

Εἰσακȣ́σεται ὁ Θεὸς, ϗ ταπεινώσει αὐτȣ̀ς, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων.

Οὐ γάρ ἐςιν αὐτοῖς ἀντάλλαγμα, ὅτι ȣ̓κ ἐφοβήθησαν τὸν Θεόν. Ἐ-

Ἐξέτεινε τὴν χεῖρα αὐτȣ̃, ἐν τῷ ἀποδιδόναι.

βεβήλωσαν τὴν διαθήκην αὐτȣ̃. Διεμερίσθησαν ἀπὸ ὀργῆς τȣ̃ προ-

Ἡ σώπȣ αὐτȣ̃, ϗ ἤγγισαν αἱ καρδίαι αὐτῶν.

παλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, ϗ αὐτοὶ εἰσὶ βολίδες.

Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σȣ, ϗ αὐτός σε διαθρέψει. Οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.

Σὺ δὲ ὁ Θεὸς κατάξεις αὐτȣ̀ς εἰς φρέαρ διαφθορᾶς.

Ἄνδρες αἱμάτων, ϗ δολιότητος, ȣ̓ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν. Ἐγὼ δὲ Κύριε ἐλπιῶ ἐπὶ σέ.

Δόξα, ϗ νῦν. ἀλληλȣ́ια.

## Τὸ Τρισάγιον, εἶτα τὰ Τροπάρια. ἦχος πλ. ά.

Κριτȣ̃ καθεζομένȣ ϗ ἀγγέλων ἑςώτων, σάλπιγγος ἠχȣ́σης ϗ φλογὸς καιομένης, τί ποιήσεις ψυχή μȣ ἀπαγομένη εἰς κρίσιν; τότε γὰρ τὰ δεινά σȣ παρίςανται, τὰ κρυπτά σȣ ἐλέγχονται ἐγκλήματα, διὸ πρὸ τέλȣς βόησον τῷ κριτῇ, ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Δόξα.

Πάντες ἀγρυπνήσωμεν, ϗ Χριςῷ ὑπαντήσωμεν, μετὰ πλήθȣς ἐλαίȣ ϗ λαμπάδων φαεινῶν, ὅπως τȣ̃ νυμφῶνος ἔνδον ἀξιωθῶμεν, ὁ γὰρ τῆς θύρας ἔξω φθανόμενος ἄπρακτα τῷ Θεῷ κέκραγεν, ἐλέησόν με.

Καὶ νῦν.

Ἐν κλίνῃ κατακείμενος ἁμαρτημάτων πολλῶν συλȣ̃μαι τὴν ἐλπίδα τῆς σωτηρίας μȣ. ὁ γὰρ ὕπνος τῆς ἐμῆς ῥαθυμίας προξενεῖ μȣ τῇ ψυχῇ τιμωρίαν· ἀλλὰ σὺ ὁ Θεὸς ὁ τεχθεὶς ἐκ παρθένȣ, διέγειρόν με πρὸς τὴν σὴν ὑμνῳδίαν, ἵνα δοξάζω σε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

### Το Κύριε ἐλέησον μ' καὶ ἡ εὐχή.

Κύριος ὁ Θεός μου ὡς ἀγαθὸς καὶ φιλάνθρωπος· πολλὰ ἐλέη ἐποίησας μετ᾽ ἐμοῦ, ἃ οὐ προσεδόκουν ἰδεῖν, καὶ τί ἀνταποδώσω τῇ σῇ ἀγαθότητι Κύριέ μου Κύριε, εὐχαριστῶ σου τῷ πολυϋμνήτῳ ὀνόματι, εὐχαριστῶ σου τῇ ἀνεκδιηγήτῳ ἐπ᾽ ἐμὲ εὐσπλαγχνείᾳ, εὐχαριστῶ τῇ ἀνεικάστῳ σου μακροθυμίᾳ, καὶ ἀπὸ τοῦ νῦν, ἀντιλαβοῦ καὶ βοήθησόν μοι καὶ σκέπασόν με, δέσποτα τῶν ἁπάντων, τοῦ μηκέτι ἁμαρτάνειν ἐνώπιόν σου. Σὺ γὰρ γινώσκεις τὸ τῆς φύσεώς μου εὐόλισθον, σὺ οἶδας τὴν ἀφροσύνην μου, σὺ ἐπίστασαι τὰ ἐμοὶ πεπραγμένα, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ, τὰ ἑκούσια καὶ ἀκούσια, τὰ ἐν νυκτὶ καὶ ἡμέρᾳ, τὰ κατὰ νοῦν καὶ διάνοιαν. Ὡς ἀγαθὸς οὖν καὶ φιλάνθρωπος Θεὸς, ἐξάλειψον τῇ δρόσῳ τοῦ ἐλέους σου ὑπεράγαθε Κύριε, καὶ σῶσον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον, οἷς ἐπίστασαι κρίμασι. Σὺ γὰρ εἶ τὸ φῶς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή. καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ ὌΓΔΟΟΝ.

Εἰς τὸ τέλος

Ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, τῷ Δαβὶδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ. νέ. 55.

Ἐλέησόν με ὁ Θεὸς, ὅτι κατεπάτησέ με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν, ἔθλιψέ με.

Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν, ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους.

Ἡμέρας οὐ φοβηθήσομαι, ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ.

Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου, ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ.

Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο. κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.

Παροικήσουσι, καὶ κατακρύψωσιν, αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι.

Καθάπερ ὑπέμειναν τὴν ψυχήν μου· ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτοὺς, ἐν ὀργῇ λαοὺς κατάξεις.

Ὁ Θεὸς τὴν ζωήν μου ἐξήγγειλά σοι. Ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου.

Ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου· ἐπιστρέψουσιν οἱ ἐχθροί μου, εἰς τὰ ὀπίσω.

Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε. ἰδοὺ ἔγνων, ὅτι Θεός μου εἶ σύ.

Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον, ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.

Ἐν ἐμοὶ ὁ Θεὸς εὐχαὶ, ἃς ἀποδώσω αἰνέσεώς σου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὅτι ἐῤῥύσω τὴν ψυχήν με ἐκ θανάτε, τὲς ὀφθαλμές με ἀπὸ δακρύων, ϗ τὲς πόδας με ἀπὸ ὀλισθήματος. Εὐαρεςήσω ἐνώπιον Κυρίε, ἐν φωτὶ ζώντων.

Εἰς τὸ τέλος

Μὴ διαφθείρῃς, τῷ Δαβὶδ εἰς ςηλογραφίαν, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπε Σαὺλ εἰς τὸ σπήλαιον. νϛ΄. 56.

Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή με.
Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σε ἐλπιῶ, ἕως ὃ παρέλθῃ ἡ ἀνομία.
Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιςον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με.
Ἐξαπέςειλεν ἐξ Οὐρανε͂, ϗ ἔσωσέ με, ἔδωκεν εἰς ὄνειδος τὲς καταπατε͂ντάς με.
Ἐξαπέςειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτε͂, ϗ τὴν ἀλήθειαν αὐτε͂, ϗ ἐῤῥύσατο τὴν ψυχήν με ἐκ μέσε σκύμνων. Ἐκοιμήθην τεταραγμένος.
Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλα ϗ βέλη, ϗ ἡ γλῶσσα αὐτῶν, μάχαιρα ὀξεῖα.
Ὑψώθητι ἐπὶ τὲς ἐρανὲς ὁ Θεὸς, ϗ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σε.
Παγίδα ἡτοίμασαν τοῖς ποσί με, ϗ κατέκαμψαν τὴν ψυχήν με.
Ὤρυξαν πρὸ προσώπε με βόθρον, ϗ ἐνέπεσον εἰς αὐτόν.
Ἑτοίμη ἡ καρδία με ὁ Θεὸς, ἑτοίμη ἡ καρδία με, ᾄσομαι ϗ ψαλῶ ἐν τῇ δόξῃ με.
Ἐξεγέρθητι ἡ δόξα με, ἐξεγέρθητι ψαλτήριον ϗ κιθάρα, ἐξεγερθήσομαι ὄρθρε.
Ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, ψαλῶ σοι ἐν Ἔθνεσιν.
Ὅτι ἐμεγαλύνθη ἕως τῶν Οὐρανῶν τὸ ἔλεός σε, ϗ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σε.
Ὑψώθητι ἐπὶ τὲς Οὐρανὲς ὁ Θεὸς, ϗ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εἰς τὸ τέλος.

Μὴ διαφθείρῃς, τῷ Δαβὶδ εἰς ςηλογραφίαν, νζ΄. 57.

Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνατε Υἱοὶ τῶν ἀνθρώπων.

Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίαν ἐργάζεσθε ἐν τῇ γῇ, ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν.

Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαςρὸς, ἐλάλησαν ψευδῆ.

Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς, καὶ βυούσης τὰ ὦτα αὐτῆς.

Ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπαδόντων, φαρμακοῦται φαρμακευομένη παρὰ σοφοῦ.

Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ ςόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος.

Ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον. Ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως οὗ ἀσθενήσουσιν.

Ὡσεὶ κηρὸς τακεὶς ἀνταναιρεθήσονται. ἔπεσε πῦρ ἐπ᾿ αὐτοὺς, καὶ οὐκ εἶδον τὸν Ἥλιον.

Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον, ὡσεὶ ζῶντας, ὡσεὶ ἐν ὀργῇ καταπίεται αὐτούς.

Εὐφρανθήσεται δίκαιος ὅταν ἴδῃ ἐκδίκησιν, τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.

Καὶ ἐρεῖ ἄνθρωπος, εἰ ἄρα ἐςὶ καρπὸς τῷ δικαίῳ, ἄρα ἐςὶν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.

Δόξα, καὶ νῦν, Ἀλληλούϊα.

Εἰς τὸ τέλος.

Μὴ διαφθείρῃς, τῷ Δαβὶδ, εἰς ςηλογραφίαν, ὁπότε ἀπέςειλε Σαοὺλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι αὐτόν. νη΄. 58.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν με ὁ Θεὸς, καὶ ἐκ τῶν ἐπανιςαμένων ἐπ᾿ ἐμὲ λύτρωσαί με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ρ῾ῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, ἢ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.

Ο῞τι ἰδὲ ἐθήρευσαν τὴν ψυχήν με, ἐπέθεντο ἐπ᾽ ἐμὲ κραταιοί.

Ου῎τε ἡ ἀνομία με, ὄτε ἡ ἁμαρτία με, Κύριε· ἄνευ ἀνομίας ἔδραμον ἢ κατεύθυνα.

Ε᾿ξεγέρθητι εἰς συνάντησίν με, ἢ ἴδε· ἢ σὺ Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς τῦ Ι᾿σραήλ.

Πρόσχες τῦ ἐπισκέψασθαι πάντα τὰ Ε῎θνη, μὴ οἰκτειρήσης πάντας τὸς ἐργαζομένες τὴν ἀνομίαν.

Ε᾿πιςρέψεσιν εἰς ἑσπέραν, ἢ λιμώξεσιν ὡς κύων, ἢ κυκλώσεσι πόλιν.

Ι᾿δὲ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ ςόματι αὐτῶν, ἢ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν· ὅτι τίς ἤκεσε;

Καὶ σὺ Κύριε ἐγκελάσεις αὐτὲς, ἐξεδενώσεις πάντα τὰ Ε῎θνη.

Τὸ κράτος με πρὸς σὲ φυλάξω, ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ με εἶ, ὁ Θεός με τὸ ἔλεος αὐτῦ προφθάσει με.

Ο῾ Θεός με δείξει μοι ἐν τοῖς ἐχθροῖς με. Μὴ ἀποκτείνης αὐτὲς, μή ποτε ἐπιλάθωνται τῦ νόμε σε.

Διασκόρπισον αὐτὲς ἐν τῇ δυνάμει σε, ἢ κατάγαγε αὐτὲς ὁ ὑπερασπιςής με Κύριε.

Α῾μαρτία ςόματος αὐτῶν, λόγος χειλέων αὐτῶν, ἢ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν.

Καὶ ἐξ ἀρᾶς ἢ ψεύδες διαγγελήσονται ἐν συντελείᾳ, ἐν ὀργῇ συντελείας, ἢ ἐ μὴ ὑπάρξωσι.

Καὶ γνώσονται, ὅτι ὁ Θεὸς δεσπόζει τῦ Ι᾿ακὼβ, ἢ τῶν περάτων τῆς γῆς.

Ε᾿πιςρέψεσιν εἰς ἑσπέραν, ἢ λιμώξεσιν ὡς κύων, ἢ κυκλώσεσι πόλιν.

Αὐτοὶ διασκορπισθήσονται τῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσι, ἢ γογγύσεσιν.

Ε᾿γὼ δὲ ᾄσομαι τῇ δυνάμει σε, ἢ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ἔλεός σε.

Ο῞τι ἐγενήθης ἀντιλήπτωρ με, ἢ καταφυγή με, ἐν ἡμέρᾳ θλίψεώς με.

Βοηθός με εἶ, σοὶ ψαλῶ, ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ με εἶ, ὁ Θεός με τὸ ἔλεός με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εἰς τὸ τέλος.

Τοῖς ἀλλοιωθησομένοις, εἰς στηλογραφίαν τῷ Δαβίδ, εἰς διδαχήν, ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας, ϗ τὴν Συρίαν Σοβάλ, καὶ ἐπέστρεψεν Ἰωάβ, ϗ ἐπάταξε τὸν Ἐδὼμ ἐν τῇ φάραγγι τῶν ἁλῶν, δώδεκα χιλιάδας. νθ΄. 59.

Ὁ Θεὸς ἀπώσω ἡμᾶς, ϗ καθεῖλες ἡμᾶς. ὠργίσθης, ϗ ᾠκτείρησας ἡμᾶς.

Συνέσεισας τὴν γῆν, ϗ συνετάραξας αὐτήν. Ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.

Ἔδειξας τῷ λαῷ σου σκληρά· ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.

Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν, τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου.

Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου, ϗ ἐπάκουσόν μου.

Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, ἀγαλλιάσομαι ϗ διαμεριῶ Σίκιμα, ϗ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.

Ἐμός ἐστι Γαλαάδ, ϗ ἐμός ἐστι Μανασσῆς, ϗ Ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου.

Ἰούδας βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου.

Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.

Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;

Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; ϗ ἐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν;

Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, ϗ ματαία σωτηρία ἀνθρώπου.

Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, ϗ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

Εἰς τὸ τέλος.

Ἐν ὕμνοις τῷ Δαβίδ, Ψαλμός. ξ΄ 60.

Εἰσάκουσον ὁ Θεὸς τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου.

Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα, ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μȣ, πύργος ἰσχύος ἀπὸ προσώπȣ ἐχθρȣ̃.

Παροικήσω ἐν τῷ σκηνώματί σȣ εἰς τȣ̀ς αἰῶνας. σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σȣ.

Ὅτι σὺ ὁ Θεὸς εἰσήκȣσας τῶν εὐχῶν μȣ. Ἔδωκας κληρονομίαν τοῖς φοβȣμένοις τὸ ὄνομά σȣ.

Ἡμέρας ἐφ' ἡμέρας τȣ̃ Βασιλέως προσθήσεις. τὰ ἔτη αὐτȣ̃ ἕως ἡμέρας γενεᾶς, ϗ γενεᾶς.

Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τȣ̃ Θεȣ̃. ἔλεος ϗ ἀλήθειαν αὐτȣ̃ τίς ἐκζητήσει;

Οὕτω ψαλῶ τῷ ὀνόματί σȣ εἰς τȣ̀ς αἰῶνας, τȣ̃ ἀποδȣ̃ναί με τὰς εὐχάς μȣ ἡμέραν ἐξ ἡμέρας.

Δόξα, ϗ νῦν Ἀλληλȣ̈ια.

Εἰς τὸ τέλος.

Ὑπὲρ Ἰδιθούμ. Ψαλμὸς τῷ Δαβίδ. ξά 61.

Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μȣ; παρ' αὐτῷ γὰρ τὸ σωτήριόν μȣ.

Καὶ γὰρ αὐτὸς Θεός μȣ, ϗ Σωτήρ μȣ, ἀντιλήπτωρ μȣ, ȣ̓ μὴ σαλευθῶ ἐπὶ πλεῖον.

Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον; φονεύετε πάντες ὑμεῖς, ὡς τοίχῳ κεκλιμένῳ ϗ φραγμῷ ὠσμένῳ;

Πλὴν τὴν τιμήν μȣ ἐβȣλεύσαντο ἀπώσασθαι, ἔδραμον ἐν δίψῃ. Τῷ στόματι αὐτῶν εὐλόγȣν, ϗ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.

Πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή μȣ, ὅτι παρ' αὐτῷ ἡ ὑπομονή μȣ.

Ὅτι αὐτὸς Θεός μȣ, ϗ Σωτήρ μȣ, ἀντιλήπτωρ μȣ, ȣ̓ μὴ μεταναστεύσω.

Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μȣ, ϗ ἡ δόξα μȣ. ὁ Θεὸς τῆς βοηθείας μȣ, ϗ ἡ ἐλπίς μȣ ἐπὶ τῷ Θεῷ.

Ἐλπίσατε ἐπ' αὐτὸν πᾶσα συναγωγὴ λαῶν, ἐκχέατε ἐνώπιον αὐτȣ̃ τὰς καρδίας ὑμῶν, ὅτι ὁ Θεὸς βοηθὸς ἡμῶν.

Πλὴν μάταιοι οἱ Υἱοὶ τῶν ἀνθρώπων. ψευδεῖς οἱ Υἱοὶ τῶν ἀνθρώπων, ἐν ζυγοῖς τȣ̃ ἀδικῆσαι, αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.

Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν, ϗ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε. Πλȣ̃τος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.

Ἅπαξ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἅπαξ ἐλάλησεν ὁ Θεός. δύο ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ Θεοῦ, καὶ σοῦ Κύριε τὸ ἔλεος, ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ,

Ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας. ξβ΄. 62.

Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου.
Ἐν γῇ ἐρήμῳ, καὶ ἀβάτῳ, καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου, καὶ τὴν δόξαν σου.
Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς, τὰ χείλη μου, ἐπαινέσουσί σε.
Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου. Καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.
Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς.
Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ Βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ. Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Εἰς τὸ τέλος.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. ξγ΄ 63.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ. Ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.
Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν.
Οἵτινες ἠκόνησαν εἰς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον αὐτῶν, πρᾶγμα πικρόν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. ἐξάπινα κατατοξεύσουσιν αὐτὸν, καὶ οὐ φοβηθήσονται. Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν. διηγήσαντο τοῦ κρύψαι παγίδα. Εἶπον τίς ὄψεται αὐτούς;

Ἐξηρεύνησαν ἀνομίαν, ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις.

Προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα, καὶ ὑψωθήσεται ὁ Θεός.

Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, καὶ ἐξηθένησαν ἐπ᾿ αὐτοὺς αἱ γλῶσσαι αὐτῶν.

Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτοὺς, καὶ ἐφοβήθη πᾶς ἄνθρωπος.

Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ Θεοῦ, καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν.

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ᾿ αὐτὸν, καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Δόξα, καὶ νῦν. ἀλληλούϊα.

## Τὸ Τρισάγιον, εἶτα τὰ Τροπάρια. ἦχος πλ. α΄.

Ἁμαρτίαις εἰς βάθη με ὀλισθήσαντα τρικυμία χειμάζει με ἀπογνώσεως· ἀλλὰ πρόφθασον Χριστὲ ὡς παντοδύναμος κυβερνήτης τοῦ παντὸς, καὶ πρὸς λιμένα γαληνὸν προσόρμισον ἀπαθείας διʼ εὐσπλαγχνίαν σωτὴρ, καὶ σῶσόν με. Δόξα.

Ψυχὴ τὰ ὧδε πρόσκαιρα, τὰ δὲ ἐκεῖ αἰώνια· ὁρῶ τὸ δικαστήριον, καὶ ἐπὶ θρόνου τὸν κριτὴν, καὶ τρέμω τὴν ἀπόφασιν· λοιπὸν ψυχή ἐπίστρεψον, ἡ κρίσις ἀσυγχώρητος. Καὶ νῦν.

Ἡ ἐλπὶς τῶν ἀπελπισμένων, ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἀντίληψις τῶν εἰς σὲ πεποιθότων, ἁγία δέσποινα Θεοτόκε τὴν βοήθειάν σου κατάπεμψον ἡμῖν.

Τὸ Κύριε ἐλέησον μ΄ καὶ ἡ εὐχή.

Κύριε οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμε καὶ πολυέλεε ἐνώτισαι τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Ποίησον μετ᾿ ἐμοῦ σημεῖον εἰς ἀγαθόν. ὁδήγησόν με ἐν τῇ ὁδῷ σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὔφρανον τὴν καρδίαν μου εἰς τὸ φοβεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον. διότι μέγας εἶ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ ὁ Θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε· δυνατὸς ἐν ἐλέει, καὶ ἀγαθὸς ἐν ἰσχύϊ εἰς τὸ βοηθεῖν καὶ παρακαλεῖν, καὶ σώζειν πάντας τοὺς ἐλπίζοντας ὅτι τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ Ε'ΝΝΑΤΟΝ.

Εἰς τὸ τέλος.

## ΨΑΛΜΟ'Σ Ω'ΔΗ'Σ ΤΩ͂ ΔΑΒΙ'Δ.

Ω'δὴ Ι'ερεμίȣ, καὶ Ι'εζεκιὴλ, τȣ͂ λαȣ͂ τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι. ξδʹ. 64.

Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ι'ερȣσαλήμ.

Εἰσάκȣσον προσευχῆς μȣ. πρὸς σὲ πᾶσα σὰρξ ἥξει.

Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ.

Μακάριος, ὃν ἐξελέξω, καὶ προσελάβȣ, κατασκηνώσω ἐν ταῖς αὐλαῖς σȣ.

Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τȣ͂ οἴκȣ σȣ. Α'γιος ὁ ναός σȣ, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ε'πάκȣσον ἡμῶν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν.

Ε'τοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτȣ͂, περιεζωσμένος ἐν δυναςείᾳ. Ο῾ συνταράσσων τὸ κῦτος τῆς θαλάσσης, ἤχȣς κυμάτων αὐτῆς τίς ὑποςήσεται;

Ταραχθήσονται τὰ Ε'θνη, καὶ φοβηθήσονται οἱ κατοικȣ͂ντες τὰ πέρατα ἀπὸ τῶν σημείων σȣ, ἐξόδȣς πρωΐας, καὶ ἑσπέρας τέρψεις.

Ε'πε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐπεσκέψω τὴν γῆν, ϗ ἐμέθυσας αὐτήν. Ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν.

Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων. Ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.

Τὰς αὔλακας αὐτῆς μέθυσον. Πλήθυνον τὰ γεννήματα αὐτῆς. Ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.

Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, ϗ τὰ πεδία σου πλησθήσονται πιότητος.

Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου, ϗ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.

Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, ϗ αἱ κοιλάδες πληθυνοῦσι σῖτον. Κεκράξονται, ϗ γὰρ ὑμνήσουσιν.

Εἰς τὸ τέλος.

Ὠδὴ Ψαλμοῦ ἀναστάσεως ξε. 65.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, Δότε δόξαν ἐν αἰνέσει αὐτοῦ.

Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.

Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, ϗ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματί σου ὕψιστε.

Δεῦτε, ϗ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ. ὡς φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς Υἱοὺς τῶν ἀνθρώπων.

Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσονται ποδί. Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ.

Τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος. οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν. Οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.

Εὐλογεῖτε ἔθνη τὸν Θεὸν ἡμῶν, ϗ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ.

Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν, ϗ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.

Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεός, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα. Ἔθȣ θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν, ἐπεβίβασας ἀνθρώπȣς ἐπὶ τὰς κεφαλὰς ἡμῶν.
Διήλθομεν διὰ πυρὸς ϗ ὕδατος, ϗ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.
Εἰσελεύσομαι εἰς τὸν οἶκόν σȣ ἐν ὁλοκαυτώμασιν. ἀποδώσω σοι τὰς εὐχάς μȣ, ἃς διέςειλε τὰ χείλη μȣ.
Καὶ ἐλάλησε τὸ ςόμα μȣ ἐν τῇ θλίψει μȣ.
Ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι μετὰ θυμιάματος ϗ κριῶν, ἀνοίσω σοι βόας μετὰ χιμάρων.
Δεῦτε, ἀκȣ́σατε, ϗ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβȣ́μενοι τὸν Θεὸν, ὅσα ἐποίησε τῇ ψυχῇ μȣ.
Πρὸς αὐτὸν τῷ ςόματί μȣ ἐκέκραξα, ϗ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μȣ.
Ἀδικίαν εἰ ἐθεώρȣν ἐν καρδίᾳ μȣ, μὴ εἰσακȣσάτω μȣ Κύριος.
Διὰ τȣ̃το εἰσήκȣσέ μȣ ὁ Θεὸς, πρόσεχε τῇ φωνῇ τῆς δεήσεώς μȣ.
Εὐλογητὸς ὁ Θεὸς, ὃς ἐκ ἀπέςησε τὴν προσευχήν μȣ, ϗ τὸ ἔλεος αὐτȣ̃ ἀπ' ἐμȣ̃.

Εἰς τὸ τέλος.

Ἐν ὕμνοις. Ψαλμὸς ᾠδῆς τῷ Δαβίδ. ξς΄. 66.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, ϗ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτȣ̃ ἐφ' ἡμᾶς, ϗ ἐλεήσαι ἡμᾶς.
Τȣ̃ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σȣ, ἐν πᾶσι τοῖς ἔθνεσι τὸ σωτήριόν σȣ.
Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.
Εὐφρανθήτωσαν, ϗ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαȣ̀ς ἐν εὐθύτητι, ϗ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.
Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς.
Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, εὐλογήσαι ἡμᾶς ὁ Θεός. Καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Δόξα, ϗ νῦν, Ἀλληλȣ́ϊα.

Εἰς τὸ τέλος.

Ὠδῆς Ψαλμὸς τῷ Δαβίδ. ξζ΄. 67.

Ἀναςήτω ὁ Θεὸς, ϗ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτȣ̃, ϗ φυγέτωσαν ἀπὸ προσώπȣ αὐτȣ̃ οἱ μισȣ̃ντες αὐτόν.

Ὠδ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλέων

Ω'ς ἐκλείπει καπνὸς, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπε πυρὸς, ἕτως ἀπολἕνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπε τἕ Θεἕ.
Καὶ οἱ Δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιάσθωσαν ἐνώπιον τἕ Θεἕ, τερφθήτωσαν ἐν εὐφροσύνῃ.
Α'σατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτἕ, ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν. Κύριος ὄνομα αὐτῷ.
Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτἕ. Ταραχθήτωσαν ἀπὸ προσώπε αὐτἕ, τἕ Πατρὸς τῶν ὀρφανῶν, ϗ Κριτἕ τῶν χηρῶν.
Ο' Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτἕ. Ο' Θεὸς κατοικίζει μονοτρόπες ἐν οἴκῳ.
Ε'ξάγων πεπεδημένες ἐν ἀνδρείᾳ. Ο'μοίως τὲς παραπικραίνοντας, τὲς κατοικἕντας ἐν τάφοις.
Ο' Θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τἕ λαἕ σε, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ.
Γῆ ἐσείσθη, ϗ γὰρ οἱ Οὐρανοὶ ἔσταξαν, ἀπὸ προσώπε τἕ Θεἕ τἕ Σινᾶ, ἀπὸ προσώπε τἕ Θεἕ Ι'σραήλ.
Βροχὴν ἑκέσιον ἀφοριεῖς ὁ Θεὸς τῇ κληρονομίᾳ σε, ϗ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν.
Τὰ ζῶά σε κατοικἕσιν ἐν αὐτῇ. ἡτοίμασας ἐν τῇ χρηστότητί σε τῷ πτωχῷ ὁ Θεός.
Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.
Ο' Βασιλεὺς τῶν δυνάμεων τἕ ἀγαπητἕ, τῇ ὡραιότητι τἕ οἴκε διελέσθαι σκῦλα.
Ε'ὰν κοιμηθῆτε ἀναμέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, ϗ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίε.
Ε'ν τῷ διαστέλλειν τὸν ἐπεράνιον Βασιλεῖς ἐπ' αὐτῆς, χιονωθήσονται ἐν Σελμών. ὄρος τἕ Θεἕ, ὄρος πῖον.
Ο'ρος τετυρωμένον, ὄρος πῖον. Ι'να τί ὑπολαμβάνετε ὄρη τετυρωμένα;
Τὸ ὄρος, ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ. Καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος.
Τὸ ἅρμα τἕ Θεἕ μυριοπλάσιον, χιλιάδες εὐθυνἕντων. Κύριος ἐν αὐτοῖς ἐν Σιναῒ ἐν τῷ ἁγίῳ.
Α'νέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν. Ε'λαβες δόματα ἐν ἀνθρώποις.
Καὶ γὰρ ἀπειθἕντας τἕ κατασκηνῶσαι. Κύριος ὁ Θεὸς εὐλογητός.
Εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν. Κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ο Θεὸς ἡμῶν, ὁ Θεὸς τȣ̃ σώζειν. ϗ τȣ̃ Κυρίȣ Κυρίȣ αἱ διέξοδοι τȣ̃ θανάτȣ.
Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτȣ̃, κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.
Εἶπε Κύριος ἐκ Βασὰν ἐπιςρέψω, ἐπιςρέψω ἐν βυθοῖς θαλάσσης.
Ὅπως ἂν βαφῇ ὁ πȣ̃ς σȣ ἐν αἵματι. ἡ γλῶσσα τῶν κυνῶν σȣ ἐξ ἐχθρῶν παρ᾽ αὐτȣ̃.
Ἐθεωρήθησαν αἱ πορεῖαί σȣ ὁ Θεός. αἱ πορεῖαι τȣ̃ Θεȣ̃ μȣ τȣ̃ Βασιλέως, τȣ̃ ἐν τῷ ἁγίῳ.
Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιςριῶν.
Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.
Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκςάσει.
Ἄρχοντες Ἰȣ́δα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβȣλὼν, ἄρχοντες Νεφθαλείμ.
Ἔντειλαι ὁ Θεὸς τῇ δυνάμει σȣ. Δυνάμωσον ὁ Θεὸς τȣ̃το, ὃ κατειργάσω ἐν ἡμῖν.
Ἀπὸ τȣ̃ ναȣ̃ σȣ ἐπὶ Ἱερȣσαλὴμ, σοὶ οἴσȣσι Βασιλεῖς δῶρα.
Ἐπιτίμησον τοῖς θηρίοις τȣ̃ καλάμȣ. Ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν, τȣ̃ ἐγκλεισθῆναι τȣ̀ς δεδοκιμασμένȣς τῷ ἀργυρίῳ.
Διασκόρπισον ἔθνη τὰ τȣ̀ς πολέμȣς θέλοντα. Ἥξȣσι πρέσβεις ἐξ Αἰγύπτȣ, Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ.
Αἱ βασιλεῖαι τῆς γῆς ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ.
Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν Οὐρανὸν τȣ̃ Οὐρανȣ̃ κατὰ ἀνατολάς.
Ἰδȣ̀ δώσει τῇ φωνῇ αὐτȣ̃ φωνὴν δυνάμεως. δότε δόξαν τῷ Θεῷ. Ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτȣ̃, ϗ ἡ δύναμις αὐτȣ̃ ἐν ταῖς νεφέλαις.
Θαυμαςὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτȣ̃, ὁ Θεὸς Ἰσραήλ. Αὐτὸς δώσει δύναμιν, ϗ κραταίωσιν τῷ λαῷ αὐτȣ̃, εὐλογητὸς ὁ Θεός.

Δόξα, ϗ νῦν. ἀλληλȣΐα.

Εἰς τὸ τέλος,

Ὑπὲρ τῶν ἀλλοιωθησομένων, Ψαλμὸς τῷ Δαβίδ. ξή. 68.

Σῶσόν με ὁ Θεὸς, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μȣ.

Ἐνε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐνεπάγην εἰς ἰλὺν βυθȣ̃, ϗ ȣ̓κ ἔςιν ὑπόςασις.

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, ϗ καταιγὶς κατεπόντισέ με.

Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μȣ. Ἐξέλιπον οἱ ὀφθαλμοί μȣ ἀπὸ τȣ̃ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μȣ.

Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μȣ, οἱ μισȣ̃ντές με δωρεάν.

Ἐκραταιώθησαν οἱ ἐχθροί μȣ, οἱ ἐκδιώκοντές με ἀδίκως, ἃ ȣ̓χ ἥρπαζον, τότε ἀπετίννυον.

Ὁ Θεὸς σὺ ἔγνως τὴν ἀφροσύνην μȣ, ϗ αἱ πλημμέλειαί μȣ ἀπὸ σȣ̃ ȣ̓κ ἀπεκρύβησαν.

Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε Κύριε, Κύριε τῶν δυνάμεων.

Μὴ δὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητȣ̃ντές σε ὁ Θεὸς τȣ̃ Ἰσραήλ.

Ὅτι ἕνεκά σȣ ὑπήνεγκα ὀνειδισμὸν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μȣ.

Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μȣ, ϗ ξένος τοῖς Υἱοῖς τῆς μητρός μȣ.

Ὅτι ὁ ζῆλος τȣ̃ οἴκȣ σȣ κατέφαγέ με. ϗ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ.

Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μȣ, ϗ ἐγενήθη εἰς ὀνειδισμȣ̀ς ἐμοί.

Καὶ ἐθέμην τὸ ἔνδυμά μȣ σάκκον, ϗ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.

Κατ' ἐμȣ̃ ἠδολέσχȣν οἱ καθήμενοι ἐν πύλαις, ϗ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον.

Ἐγὼ δὲ τῇ προσευχῇ μȣ πρὸς σὲ Κύριε, καιρὸς εὐδοκίας.

Ὁ Θεὸς, ἐν τῷ πλήθει τȣ̃ ἐλέȣς σȣ ἐπάκȣσόν μȣ, ἐν ἀληθείᾳ τῆς σωτηρίας σȣ.

Σῶσόν με ἀπὸ πηλȣ̃, ἵνα μὴ ἐμπαγῶ. Ῥυσθείην ἐκ τῶν μισȣ́ντων με, ϗ ἐκ τῶν βαθέων τῶν ὑδάτων.

Μή με καταποντισάτω καταιγὶς ὕδατος, μὴ δὲ καταπιέτω με βυθὸς, μὴ δὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ ςόμα αὐτȣ̃.

Εἰσάκȣσόν μȣ Κύριε ὅτι χρηςὸν τὸ ἔλεός σȣ. Κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σȣ ἐπίβλεψον ἐπ' ἐμέ.

Μὴ ἀποςρέψῃς τὸ πρόσωπόν σȣ ἀπὸ τȣ̃ παιδός σȣ, ὅτι θλίβομαι, ταχὺ ἐπάκȣσόν μȣ.

Πρό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Πρόσχες τῇ ψυχῇ με, ϗ λύτρωσαι αὐτήν. Ἕνεκα τῶν ἐχθρῶν με ῥῦσαί με.

Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν με, ϗ τὴν αἰσχύνην με, ϗ τὴν ἐντροπήν με.

Ἐναντίον σε πάντες οἱ θλίβοντές με. Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή με, ϗ ταλαιπωρίαν.

Καὶ ὑπέμεινα συλλυπέμενον, ϗ ἐχ ὑπῆρξε, ϗ παρακαλῦντας, ϗ ἐχ εὗρον.

Καὶ ἔδωκαν εἰς τὸ βρῶμά με χολὴν, ϗ εἰς τὴν δίψαν με ἐπότισάν με ὄξος.

Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, ϗ εἰς ἀνταπόδοσιν, ϗ εἰς σκάνδαλον.

Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τῦ μὴ βλέπειν, ϗ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.

Ἔκχεον ἐπ᾽ αὐτὲς τὴν ὀργήν σε, ϗ ὁ θυμὸς τῆς ὀργῆς σε καταλάβοι αὐτές.

Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, ϗ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔσω ὁ κατοικῶν.

Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, ϗ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων με προσέθηκαν.

Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν, ϗ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σε.

Ἐξαλειφθήτωσαν ἐκ βίβλε ζώντων, ϗ μετὰ δικαίων μὴ γραφήτωσαν.

Πτωχὸς, ϗ ἀλγῶν εἰμὶ ἐγώ. ἡ σωτηρία σε ὁ Θεὸς ἀντιλάβοιτό με.

Αἰνέσω τὸ ὄνομα τῦ Θεῦ με μετ᾽ ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει.

Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα, ϗ ὁπλάς.

Ἰδέτωσαν πτωχοὶ, ϗ εὐφρανθήτωσαν. Ἐκζητήσατε τὸν Θεὸν, ϗ ζήσεται ἡ ψυχὴ ἡμῶν.

Ὅτι εἰσήκεσε τῶν πενήτων ὁ Κύριος, ϗ τὲς πεπεδημένες αὐτῦ ἐκ ἐξεδένωσεν.

Αἰνεσάτωσαν αὐτὸν οἱ Οὐρανοὶ, ϗ ἡ γῆ, θάλασσα ϗ πάντα τὰ ἕρποντα ἐν αὐτῇ.

Ὅτι ὁ Θεὸς σώσει τὴν Σιὼν, ϗ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰεδαίας.

Καὶ

Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ κατοικήσȣσιν ἐκεῖ, ϗ κληρονομήσȣσιν αὐτήν.
Καὶ τὸ σπέρμα τῶν δȣ́λων σȣ καθέξȣσιν αὐτήν. ϗ οἱ ἀγαπῶντες τὸ ὄνομά σȣ κατασκηνώσȣσιν ἐν αὐτῇ.

Εἰς τὸ τέλος.

Τῷ Δαβὶδ εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με Κύριε. ξθ'. 69.

Ο Θεὸς εἰς τὴν βοήθειάν μȣ πρόσχες, Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.
Αἰσχυνθήτωσαν, ϗ ἐντραπήτωσαν οἱ ζητȣ̃ντες τὴν ψυχήν μȣ.
Ἀποστραφήτωσαν εἰς τα ὀπίσω, ϗ καταισχυνθήτωσαν οἱ βȣλόμενοί μοι κακά.
Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι, εὖγε, εὖγε.
Ἀγαλλιάσθωσαν, ϗ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητȣ̃ντές σε ὁ Θεός. Καὶ λεγέτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σȣ.
Ἐγὼ δὲ πτωχός εἰμι ϗ πένης, ὁ Θεὸς βοήθησόν μοι.
Βοηθός μȣ, ϗ ῥύστης μȣ εἶ σὺ, Κύριε μὴ χρονίσῃς.

Δόξα, ϗ νῦν. ἀλληλȣΐα.

Τὸ Τρισάγιον, εἶτα τὰ Τροπάρια. ἦχος πλ'. β'.

Ἐννοῶ τὴν ἡμέραν τὴν φοβεράν. ϗ θρηνῶ μȣ τὰς πράξεις τὰς πονηράς· πῶς ἀπολογήσωμαι τῷ ἀθανάτῳ βασιλεῖ, ποίᾳ δὲ παῤῥησίᾳ ἀτενήσω τῷ κριτῇ ὁ ἄσωτος ἐγώ. εὔσπλαγχνε Πάτερ, Υἱὲ μονογενὲς τὸ Πνεῦμα τὸ ἅγιον, ἐλέησόν με. Δόξα.

Εἰς τὴν κοιλάδα τȣ̃ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν διέθȣ, ὅταν καθίσῃς ἐλεήμων ποιῆσαι δικαίαν κρίσιν, μὴ δημοσιεύσῃς μȣ τὰ κεκρυμμένα, μὴ δὲ καταισχύνῃς με ἐνώπιον τῶν Ἀγγέλων· ἀλλὰ φεῖσαί μȣ ὁ Θεὸς ϗ ἐλέησόν με. Καὶ νῦν.

Ἐλπὶς ϗ σκέπη κραταιὰ τῶν εἰς σὲ προστρεχόντων Θεοκυντορ, ἀγαθὴ προστασία τȣ̃ κόσμȣ, ἱκέτευε σὺν ἀσωμάτοις ἐκτενῶς, ὃν ἔτεκες φιλανθρωπότατον Θεὸν, ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν ἐκ πάσης ἀπειλῆς, μόνη εὐλογημένη.

Δημόσια Βιβλιοθήκη Μηλεών

Τὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

## Το Κύριε ἐλέησον μ' καὶ ἡ εὐχή.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος τῆς ἀθλίας μου ψυχῆς, τὴν νόσον καὶ τὴν ταύτης θεραπείαν ἐπιστάμενος, ἰάτρευσον αὐτὴν ὡς οἶδας ἕνεκα τοῦ πλήθους τοῦ ἐλέους, καὶ τῶν οἰκτιρμῶν σου, διότι ἐκ τῶν ἔργων μου οὐκ ἐστὶ μάλαγμα ἐπιθεῖναι αὐτῇ, οὔτε ἔλεον οὔτε καταδέσμους· ἀλλὰ σὺ ὁ ἐλθὼν μὴ δικαίους καλέσαι ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, ἐλέησον, οἴκτειρον, συμπάθησον αὐτήν. διάῤῥηξον τὸ χειρόγραφον τῶν πολλῶν μου, καὶ αἰσχρῶν μου πράξεων, καὶ ὁδήγησόν με, εἰς εὐθεῖαν ὁδόν σου, ἵνα πορευόμενος ἐν τῇ ἀληθείᾳ σου δυνήσομαι ἐκφυγεῖν τὰ βέλη τοῦ πονηροῦ, καὶ οὕτως σταθῆναι ἀκατακρίτως ἐνώπιον τοῦ φοβεροῦ βήματός σου, δοξάζων καὶ ἀνυμνῶν τὸ πανάγιόν σου ὄνομα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ ΔΕ'ΚΑΤΟΝ.

Τῷ Δαβὶδ Ψαλμὸς τῶν υἱῶν Ἰωναδὰβ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων. ἀνεπίγραφος παρ' Ἑβραίοις ὁ. 70.

Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Ἐν τῇ δικαιοσύνῃ σε ῥῦσαί με, καὶ ἔξελέ με.

Κλῖνον πρός με τὸ οὖς σε, καὶ σῶσόν με.

Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με.

Ὅτι στερέωμά με, καὶ καταφυγή με εἶ σύ.

Ὁ Θεός με, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος, καὶ ἀδικοῦντος.

Ὅτι σὺ εἶ ἡ ὑπομονή με Κύριε, Κύριε ἡ ἐλπίς με ἐκ νεότητός με.

Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρὸς, ἐκ κοιλίας μητρός με. σύ με εἶ σκεπαστής.

Ἐν σοὶ ἡ ὕμνησίς με διὰ παντός. Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθός με κραταιός.

Πληρωθήτω τὸ στόμα με αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σε, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σε.

Μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρως, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν με, μὴ ἐγκαταλίπῃς με.

Ὅτι εἶπον οἱ ἐχθροί με ἐμοὶ, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν με ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Λέγοντες, ὁ Θεὸς ἐγκατέλιπεν αὐτὸν, καταδιώξατε, ϗ καταλάβετε αὐτὸν, ὅτι ἐκ ἔςιν ὁ ῥυόμενος.

Ὁ Θεός με, μὴ μακρύνῃς ἀπ' ἐμῦ, ὁ Θεός με, εἰς τὴν βοήθειάν με πρόσχες.

Αἰσχυνθήτωσαν, ϗ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν με. Περιβαλέσθωσαν αἰσχύνην, ϗ ἐντροπὴν οἱ ζητῦντες τὰ κακά μοι.

Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ ἐπὶ σὲ, ϗ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σε.

Τὸ σόμα με ἀναγγελεῖ τὴν δικαιοσύνην σε, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σε.

Ὅτι ἐκ ἔγνων γραμματείας, εἰσελεύσομαι ἐν δυναςείᾳ Κυρίε. Κύριε μνησθήσομαι τῆς δικαιοσύνης σε μόνε.

Ὁ Θεός με, ἃ ἐδίδαξάς με ἐκ νεότητός με, ϗ μέχρι τῦ νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σε.

Καὶ ἕως γήρως, ϗ πρεσβείε. Ὁ Θεός με μὴ ἐγκαταλίπῃς με.

Ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σε, τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ.

Τὴν δυναςείαν σε, ϗ τὴν δικαιοσύνην σε, ὁ Θεὸς ἕως τῶν ὑψίςων. Ἃ ἐποίησάς μοι μεγαλεῖα, ὁ Θεὸς τίς ὅμοιός σοι;

Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς ϗ κακὰς, ϗ ἐπιςρέψας ἐζωοποίησάς με, ϗ ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με.

Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σε, ϗ ἐπιςρέψας παρεκάλεσάς με, ϗ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.

Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, ἐν σκεύεσι ψαλμῦ τὴν ἀλήθειάν σε ὁ Θεός. ψαλῶ σοι ἐν κιθάρᾳ ὁ ἅγιος τῦ Ἰσραήλ.

Ἀγαλλιάσονται τὰ χείλη με ὅταν ψάλω σοι, ϗ ἡ ψυχή με ἣν ἐλυτρώσω.

Ἔτι δὲ ϗ ἡ γλῶσσά με, ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σε, ὅταν αἰσχυνθῶσι, ϗ ἐντραπῶσιν οἱ ζητῦντες τὰ κακά μοι.

Εἰς τὸ τέλος.

Εἰς Σολομῶν, Ψαλμὸς τῷ Δαβίδ. οα. 71.

Ὁ Θεὸς τὸ κρίμά σε τῷ Βασιλεῖ δὸς, ϗ τὴν δικαιοσύνην σε τῷ Υἱῷ τῦ Βασιλέως.

Κρίνειν τὸν λαόν σε ἐν δικαιοσύνῃ, ϗ τὲς πτωχές σε ἐν κρίσει.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Α᾽ ναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, ϗ οἱ βȣνοὶ δικαιοσύνην.

Κρινεῖ τȣ̀ς πτωχȣ̀ς τȣ῀ λαȣ῀, ϗ σώσει τȣ̀ς Υἱȣ̀ς τῶν πενήτων, ϗ ταπεινώσει συκοφάντην.

Καὶ συμπαραμενεῖ τῷ Ἡλίῳ, ϗ πρὸ τῆς Σελήνης γενεᾶς γενεῶν.

Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, ϗ ὡσεὶ σαγὼν ἡ σάζȣσα ἐπὶ τὴν γῆν.

Α᾽ νατελεῖ ἐν ταῖς ἡμέραις αὐτȣ῀ δικαιοσύνη, ϗ πλῆθος εἰρήνης, ἕως ȣ῟ ἀνταναιρεθῇ ἡ Σελήνη.

Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, ϗ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκȣμένης.

Ἐ νώπιον αὐτȣ῀ προπεσȣ῀νται Αἰθίοπες, ϗ οἱ ἐχθροὶ αὐτȣ῀ χȣ῀ν λείξȣσι.

Βασιλεῖς Θαρσεῖς ϗ Νῆσοι δῶρα προσοίσȣσι. Βασιλεῖς Α᾽ράβων, ϗ Σαβᾶ δῶρα προσάξȣσι.

Καὶ προσκυνήσȣσιν αὐτῷ πάντες οἱ Βασιλεῖς τῆς γῆς. Πάντα τὰ Ἔθνη δȣλεύσȣσιν αὐτῷ.

Ὅ τι ἐῤῥύσατο πτωχὸν ἐκ δυνάςȣ, ϗ πένητα, ᾧ ȣ̓κ ὑπῆρχε βοηθός.

Φείσεται πτωχȣ῀, ϗ πένητος, ϗ ψυχὰς πενήτων σώσει.

Ἐκ τόκȣ, ϗ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, ϗ ἔντιμον τὸ ὄνομα αὐτȣ῀ ἐνώπιον αὐτῶν.

Καὶ ζήσεται, ϗ δοθήσεται αὐτῷ ἐκ τȣ῀ χρυσίȣ τῆς Α᾽ραβίας, ϗ προσεύξονται περὶ αὐτȣ῀ διαπαντός. Ὅλην τὴν ἡμέραν εὐλογήσȣσιν αὐτόν.

Ἔ σαι σήριγμα ἐν τῇ γῇ ἐπ᾽ ἄκρων τῶν ὀρέων. Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτȣ῀, ϗ ἐξανθήσȣσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.

Ἔ σαι τὸ ὄνομα αὐτȣ῀ εὐλογημένον εἰς τȣ̀ς αἰῶνας. Πρὸ τȣ῀ Ἡλίȣ διαμένει τὸ ὄνομα αὐτȣ῀.

Καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Πάντα τὰ ἔθνη μακαριȣ῀σιν αὐτόν.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τȣ῀ Ἰσραὴλ, ὁ ποιῶν θαυμάσια μόνος.

Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτȣ, εἰς τὸν αἰῶνα, ϗ εἰς τὸν αἰῶνα τȣ῀ αἰῶνος.

Καὶ πληρωθήσεται τῆς δόξης αὐτȣ῀ πᾶσα ἡ γῆ. γένοιτο γένοιτο.

Δόξα, ϗ νῦν, Α᾽λληλȣΐα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐξέλιπον οἱ ὕμνοι Δαβὶδ τȣ̃ υἱȣ̃ Ἰεσσαί.

Ψαλμὸς τῷ Ἀσάφ. Ὠδὴ πρὸς τὸν Ἀσσύριον. οβʹ. 72.

Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραὴλ, τοῖς εὐθέσι τῇ καρδίᾳ.
Ἐμȣ̃ δὲ παραμικρὸν ἐσαλεύθησαν οἱ πόδες. Παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μȣ.
Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν.
Ὅτι ȣ̓κ ἔϛιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν, ϗ ϛερέωμα ἐν τῇ μάϛιγι αὐτῶν.
Ἐν κόποις ἀνθρώπων ȣ̓κ εἰσὶ, ϗ μετὰ ἀνθρώπων ȣ̓ μαϛιγωθήσονται.
Διὰ τȣ̃το ἐκράτησεν αὐτȣ̀ς ἡ ὑπερηφανία αὐτῶν εἰς τέλος. περιεβάλοντο ἀδικίαν, ϗ ἀσέβειαν ἑαυτῶν.
Ἐξελεύσεται ὡς ἐκ ϛέατος ἡ ἀδικία αὐτῶν, διήλθοσαν εἰς διάθεσιν καρδίας.
Διενοήθησαν ϗ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν.
Ἔθεντο εἰς ȣ̓ρανὸν τὸ ϛόμα αὐτῶν, ϗ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.
Διὰ τȣ̃το ἐπιϛρέψει ὁ λαός μȣ ἐνταῦθα, ϗ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς.
Καὶ εἶπον· πῶς ἔγνω ὁ Θεός; ϗ εἰ ἔϛι γνῶσις ἐν τῷ ὑψίϛῳ;
Ἰδȣ̀ ȣ̃τοι οἱ ἁμαρτωλοὶ, ϗ εὐθηνȣ̃ντες εἰς τὸν αἰῶνα, κατέσχον πλȣ́τȣ.
Καὶ εἶπα· ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μȣ; ϗ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μȣ;
Καὶ ἐγενόμην μεμαϛιγωμένος ὅλην τὴν ἡμέραν, ϗ ὁ ἔλεγχός μȣ εἰς τὰς πρωΐας;
Εἰ ἔλεγον, διηγήσομαι ȣ̃τως· ἰδȣ̀ τῇ γενεᾷ τῶν Υἱῶν σȣ ἠσυνθέτηκα.
Καὶ ὑπέλαβον τȣ̃ γνῶναι. Τȣ̃το κόπος ἐϛὶν ἐνώπιόν μȣ.
Ἕως ȣ̓ εἰσέλθω εἰς τὸ ἁγιαϛήριον τȣ̃ Θεȣ̃, ϗ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.
Πλὴν, διὰ τὰς δολιότητας αὐτῶν, ἔθȣ αὐτοῖς κακά. Κατέβαλες αὐτȣ̀ς ἐν τῷ ἐπαρθῆναι.

Πῶς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Πῶς ἐγένοντο εἰς ἐρήμωσιν; ἐξάπινα ἐξέλιπον, ἀπώλοντο, διὰ τὴν ἀνομίαν αὐτῶν.

Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένȣ. Κύριε, ἐν τῇ πόλει σȣ τὴν εἰκόνα αὐτῶν ἐξȣδενώσεις.

Ὅτι ἐξεκαύθη ἡ καρδία μȣ, ϗ οἱ νεφροί μȣ ἠλλοιώθησαν, κἀγὼ ἐξȣδενωμένος, ϗ ȣ̓κ ἔγνων.

Κτηνώδης ἐγενήθην παρὰ σοὶ, κἀγὼ διαπαντὸς μετὰ σȣ̃.

Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μȣ, ϗ ἐν τῇ βȣλῇ σȣ ὡδήγησάς με, ϗ μετὰ δόξης προσελάβȣ με.

Τί γάρ μοι ὑπάρχει ἐν τῷ Οὐρανῷ; ϗ παρὰ σȣ̃ τί ἠθέλησα ἐπὶ τῆς γῆς;

Ἐξέλιπεν ἡ καρδία μȣ, ϗ ἡ σάρξ μȣ, ὁ Θεὸς τῆς καρδίας μȣ, ϗ ἡ μερίς μȣ, ὁ Θεὸς εἰς τὸν αἰῶνα.

Ὅτι ἰδȣ̀ οἱ μακρύνοντες ἑαυτȣ̀ς ἀπὸ σȣ̃ ἀπολȣ̃νται. Ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σȣ̃.

Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μȣ, τȣ̃ ἐξαγγεῖλαί με πάσας τὰς αἰνέσεις σȣ, ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

### Συνέσεως τῷ Ἀσάφ. Ψαλμὸς, ογ'. 73.

Ἱνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος; ὠργίσθη ὁ θυμός σȣ ἐπὶ πρόβατα νομῆς σȣ;

Μνήσθητι τῆς συναγωγῆς σȣ, ἧς ἐκτήσω ἀπ' ἀρχῆς.

Ἐλυτρώσω ῥάβδον κληρονομίας σȣ. Ὄρος Σιὼν τȣ̃το, ὃ κατεσκήνωσας ἐν αὐτῷ.

Ἔπαρον τὰς χεῖράς σȣ ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν, εἰς τέλος, ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σȣ.

Καὶ ἐνεκαυχήσαντο οἱ μισȣ̃ντές σε ἐν μέσῳ τῆς ἑορτῆς σȣ.

Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, ϗ ȣ̓κ ἔγνωσαν. ὡς εἰς τὴν ἔξοδον ὑπεράνω.

Ὡς ἐν δρυμῷ ξύλων, ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτὸ, ἐν πελέκει, ϗ λαξευτηρίῳ κατέῤῥαξαν αὐτήν.

Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σȣ, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τȣ̃ ὀνόματός σȣ.



Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό. δεῦτε, ϰ̀ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς.

Τὰ σημεῖα αὐτῶν ἐκ εἴδομεν. ἐκ ἔςιν ἔτι Προφήτης, ϰ̀ ἡμᾶς ἐ γνώσεται ἔτι.

Ἕως πότε ὁ Θεὸς, ὀνειδιεῖ ὁ ἐχθρός; παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;

Ἵνα τί ἀποςρέφεις τὴν χεῖρά σου, ϰ̀ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;

Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν. Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.

Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος. Ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι.

Σὺ διέῤῥηξας πηγὰς ϰ̀ χειμάῤῥους. Σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ.

Σή ἐςιν ἡμέρα, ϰ̀ σή ἐςιν ἡ νύξ. Σὺ κατηρτίσω φαῦσιν, ϰ̀ ἥλιον.

Σὺ ἐποίησας πάντα τὰ ὡραῖα τῆς γῆς. Θέρος, ϰ̀ ἔαρ σὺ ἔπλασας αὐτά.

Μνήσθητι ταύτης. Ἐχθρὸς ὠνείδισε τὸν Κύριον, ϰ̀ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου.

Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.

Ἐπίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν.

Μὴ ἀποςραφήτω τεταπεινωμένος, ϰ̀ κατῃσχυμμένος. πτωχὸς ϰ̀ πένης αἰνέσουσι τὸ ὄνομά σου.

Ἀνάςα ὁ Θεὸς, δίκασον τὴν δίκην σου, μνήσθητι τοῦ ὀνειδισμοῦ σου τοῦ ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν.

Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν οἰκετῶν σου. Ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διαπαντός.

Δόξα, ϰ̀ νῦν. Ἀλληλούϊα.

Εἰς τὸ τέλος.

Μὴ διαφθείρῃς, Ψαλμὸς τῷ Ἀσάφ, οδ΄. 74.

Ἐξομολογησόμεθά σοι ὁ Θεὸς, ἐξομολογησόμεθά σοι, ϰ̀ ἐπικαλεσόμεθα τὸ ὄνομά σου.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Διηγήσομαι πάντα τα θαυμάσιά σε. Ο῞ταν λάβω καιρὸν, ἐγὼ εὐθύτητας κρινῶ.

Ε᾿τάκη ἡ γῆ, ϗ πάντες οἱ κατοικεντες ἐν αὐτῇ. ἐγὼ ἐςερέωσα τὲς σύλες αὐτῆς.

Εἶπα τοῖς παρανομεσι, μὴ παρανομεῖτε, ϗ τοῖς ἁμαρτάνεσι, μὴ ὑψετε κέρας.

Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, ϗ μὴ λαλεῖτε κατὰ τε Θεε ἀδικίαν.

Ο῞τι ἔτε ἐξ ἐξόδων, ἔτε ἀπὸ δυσμῶν, ἔτε ἀπὸ ἐρήμων ὀρέων, ὅτι ὁ Θεὸς κριτής ἐςι.

Τετον ταπεινοῖ, ϗ τετον ὑψοῖ. Ο῞τι ποτήριον ἐν χειρὶ Κυρίε, οἴνε ἀκράτε πλῆρες κεράσματος.

Καὶ ἔκλινεν ἐκ τέτε εἰς τετο, πλὴν ὁ τρυγίας αὐτε ἐκ ἐξεκενώθη. Πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.

Ε᾿γὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα. ψαλῶ τῷ Θεῷ Ι᾿ακώβ.

Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω, ϗ ὑψωθήσεται τὸ κέρας τε δικαίε.

Εἰς τὸ τέλος.

Ε᾿ν ὕμνοις, Ψαλμὸς τῷ Α᾿σὰφ, ᾠδὴ πρὸς τὸν Α᾿σσύριον. οε. 75.

Γνωςὸς ἐν τῇ Ι᾿εδαίᾳ ὁ Θεὸς, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτε.

Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτε, ϗ τὸ κατοικητήριον αὐτε ἐν Σιών.

Ε᾿κεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον, ϗ ῥομφαίαν, ϗ πόλεμον.

Φωτίζεις σὺ θαυμαςῶς ἀπὸ ὀρέων αἰωνίων. ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ.

Υ῞πνωσαν ὕπνον αὐτῶν, ϗ ἐχ εὗρον ἐδὲν πάντες οἱ ἄνδρες τε πλέτε ταῖς χερσὶν αὐτῶν.

Α᾿πὸ ἐπιτιμήσεώς σε ὁ Θεὸς Ι᾿ακὼβ, ἐνύςαξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις·

Σὺ φοβερὸς εἶ, ϗ τίς ἀντιςήσεταί σοι; ἀπὸ τότε ἡ ὀργή σε.

Ε᾿κ τε ἐρανε ἠκέτισας κρίσιν. Γῆ ἐφοβήθη, ϗ ἡσύχασεν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εν τῷ ἀναςῆναι εἰς κρίσιν τὸν Θεὸν, τȣ σῶσαι πάντας τȣ̀ς πραεῖς τῆς γῆς.

Ὅτι ἐνθύμιον ἀνθρώπȣ ἐξομολογήσεταί σοι, ϗ ἐγκατάλειμμα ἐνθυμίȣ ἑορτάσει σοι.

Εὔξασθε, ϗ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. παντες οἱ κύκλῳ αὐτȣ οἴσȣσι δῶρα.

Τῷ φοβερῷ, ϗ ἀφαιρȣμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς Βασιλεῦσι τῆς γῆς.

## Εἰς τὸ τέλος.

### Ὑπὲρ Ἰδιθὺμ, Ψαλμὸς τῷ Ἀσάφ. οϛ'. 76.

Φωνῆ μȣ πρὸς Κύριον ἐκέκραξα, φωνῆ μȣ πρὸς τὸν Θεὸν, ϗ προσέσχε μοι.

Εν ἡμέρᾳ θλίψεώς μȣ τὸν Θεὸν ἐξεζήτησα, ταῖς χερσί μȣ νυκτὸς ἐναντίον αὐτȣ, ϗ ἐκ ἠπατήθην.

Απηνήνατο παρακληθῆναι ἡ ψυχή μȣ. ἐμνήσθην τȣ Θεȣ, ϗ εὐφράνθην. Ἠδολέσχησα, ϗ ὠλιγοψύχησε τὸ πνεῦμά μȣ.

Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μȣ. Ἐταράχθην, ϗ ἐκ ἐλάλησα.

Διελογισάμην ἡμέρας ἀρχαίας, ϗ ἔτη αἰώνια ἐμνήσθην.

Καὶ ἐμελέτησα, νυκτὸς μετὰ τῆς καρδίας μȣ ἠδολέσχȣν, ϗ ἔσκαλλε τὸ πνεῦμά μȣ.

Μὴ εἰς τȣ̀ς αἰῶνας ἀπώσεται Κύριος; ϗ ȣ̓ προσθήσει τȣ εὐδοκῆσαι ἔτι;

Ἢ εἰς τέλος τὸ ἔλεος αὐτȣ ἀποκόψει; Συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν;

Μὴ ἐπιλήσεται τȣ οἰκτειρῆσαι ὁ Θεός; ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτȣ τȣ̀ς οἰκτιρμȣ̀ς αὐτȣ;

Καὶ εἶπα· νῦν ἠρξάμην. Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τȣ Ὑψίςȣ.

Εμνήσθην τῶν ἔργων Κυρίȣ. Ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σȣ.

Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σȣ, ϗ ἐν τοῖς ἐπιτηδεύμασί σȣ ἀδολεσχήσω.

Ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σȣ. Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς, ὁ ποιῶν θαυμάσια.



Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου, ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ, καὶ Ἰωσήφ.

Εἴδοσάν σε ὕδατα ὁ Θεὸς, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν. Ἐταράχθησαν ἄβυσσοι.

Πλῆθος ἤχους ὑδάτων. Φωνὴν ἔδωκαν αἱ νεφέλαι.

Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται. Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ.

Ἔφαναν αἱ ἀστραπαί σου τῇ Οἰκουμένῃ. ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.

Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.

Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου, ἐν χειρὶ Μωϋσῆ, καὶ Ἀαρών.

Δόξα, καὶ νῦν. ἀλληλούια.

Τὸ Τρισάγιον, εἶτα τὰ Τροπάρια. ἦχος πλ. β.

Τὴν φοβερὰν ἡμέραν τῆς παρουσίας σου, καὶ τὸ ἀδέκαστον κριτήριον πτοούμενος Κύριε, ἐξίσταμαι καὶ τρέμω ὡς ἔχων πλῆθος ἁμαρτιῶν. Ἀλλά με πρὸ τοῦ τέλους ὡς ἐλεήμων Θεὸς ἐπίστρεψον καὶ σῶσόν με σωτήρ μου πολυέλεε. Δόξα.

Ὅτε θρόνοι εἰς κρίσιν τεθῶσι Κύριε, καὶ τῷ βήματί σου παραστῶσιν ἄνθρωποι, οὐ προτιμᾶται βασιλεὺς στρατιώτου, οὐχ ὑπερέχει ὁ δεσπότης τοῦ δούλου· ἕκαστος γὰρ ἐκ τῶν ἰδίων ἔργων ἢ δοξασθήσεται ἢ αἰσχυνθήσεται. Καὶ νῦν.

Μεγάλων χαρισμάτων ἁγνὴ παρθένε Μήτηρ μόνη Χριστοῦ ἐγνώσθης, ὅτι ἔτεκες σαρκὶ τὸν ἕνα τῆς Τριάδος Χριστὸν τὸν ζωοδότην, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τὸ Κύριε ἐλέησον μ' καὶ ἡ εὐχή.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἐλέει πλούσιος, καὶ ἐν οἰκτιρμοῖς ἀκατάληπτος, ὁ μόνος κατὰ φύσιν ἀναμάρτητος, καὶ δι' ἡμᾶς χωρὶς ἁμαρτίας γενόμενος ἄνθρωπος· εἰσάκουσον, ἐν τῇ ὥρᾳ ταύτῃ τῆς κατοδυνώσεως μου ταύτης δεήσεως, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἀπὸ ἔργων ἀγαθῶν, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου· σὺ γὰρ γινώσκεις ὕψιστε βασιλεῦ Κύριε τοῦ Οὐρανοῦ καὶ τῆς γῆς, ὅτι πᾶσαν μου τὴν νεότητα ἐν ἁμαρτίαις κατεδαπάνησα, καὶ ὀπίσω τῶν ἐπιθυμιῶν τῆς σαρκός μου πορευθεὶς ὅλος ἐπὶ ἅρμα τοῖς δαίμοσι γέγονα, ὅλος τῷ διαβόλῳ ἐπικολλήθην, διὰ παντὸς τῷ βορβόρῳ τῶν ἡδονῶν κυ-



λιο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

λιόμενος, σκοτισθεὶς γὰρ τὸν λογισμὸν ἀπὸ βρέφους καὶ μέχρι νῦν οὐδέποτε ἠθέλησα ποιῆσαι τὸ θέλημά σου τὸ ἅγιον. ἀλλ' ὅλος ὑπὸ τῶν πολιορκούντων με παθῶν αἰχμαλωτισθεὶς, γέλως καὶ παίγνιον τοῖς δαίμοσιν ἐχρημάτισα, μηδαμῶς ἐπὶ νοῦν λογισάμενος ὅτι ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοῖς ἀπειλῆς σου, καὶ τὴν ἀποκειμένην γέενναν τοῦ πυρὸς, ὡς ἐντεῦθεν εἰς ἀπόγνωσιν ἐμπεσὼν, καὶ μηδαμῶς ἐν αἰσθήσει ἐπιστροφῆς γενόμενος· ἔρημος, γυμνὸς, τῆς ἀπὸ σοῦ φιλίας γεγένημαι. ποῖον γὰρ εἶδος ἁμαρτίας οὐκ εἰργασάμην, ποῖον ἔργον τῶν δαιμόνων οὐ διεπραξάμην; ποίαν πρᾶξιν αἰσχρὰν καὶ ἄσωτον οὐ μεθ' ὑπερβολῆς καὶ σπουδῆς ἐτέλεσα; τὸν νοῦν δι' ἐνθυμήσεων σαρκικῶν κατεσπίλωσα· τὸ σῶμα διὰ μίξεων ἔκλισα· τὸ πνεῦμα διὰ συγκαταθέσεως κατεμόλυνα, πᾶν μέλος τῆς ἐλεεινῆς μου σαρκὸς ὑπηρετεῖν καὶ δουλεύειν ταῖς ἁμαρτίαις ᾑρέτισα. καὶ τίς λοιπὸν οὐ θρηνήσει με τὸν ταλαίπωρον; τίς οὐ πενθήσει με τὸν κατάκριτον; ἐγὼ γὰρ μόνος Δέσποτα τὸν θυμόν σου παρώργισα. ἐγὼ μόνος τὴν ὀργήν σου κατ' ἐμοῦ ἐξέκαυσα. ἐγὼ μόνος τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὑπερβαλὼν καὶ ὑπερνικήσας πάντας τοὺς ἀπ' αἰῶνος ἁμαρτωλοὺς, ἀσύγκριτα πταίσας καὶ ἀσυγχώρητα. Ἀλλ' ἐπειδὴ πολυέλεος καὶ πολυεύσπλαγχνος ὑπάρχεις φιλάνθρωπε, καὶ ἀναμένεις τὴν τῶν ἀνθρώπων ἐπιστροφὴν, ἰδοὺ καὶ αὐτὸς ἐπιρρίπτω ἐμαυτὸν ἐνώπιον τοῦ φοβεροῦ καὶ ἀστέκτου σου βήματος· καὶ ὥσπερ τῶν ἀχράντων σου ποδῶν ἐφαπτόμενος ἐκ βάθους ψυχῆς ἀνακράζω σοι, ἱλάσθητι Κύριε· συγχώρησον εὐδιάλλακτε, συμπάθησον τῇ ἀσθενείᾳ μου, ἐπικάμφθητι τῇ ἀπορίᾳ μου, πρόσχες τῇ δεήσει μου, καὶ τῶν δακρύων μου μὴ παρασιωπήσῃς. δέξαι με μετανοοῦντα, καὶ πεπλανημένον ἐπίστρεψον, ἐπιστρέφοντα ἐναγκάλεσαι, καὶ παρακαλοῦντα συγχώρησον· οὐ γὰρ ἔθου μετάνοιαν δικαίοις· οὐκ ἔθου συγχώρησιν τοῖς μὴ ἁμαρτάνουσιν, ἀλλ' ἔθου μετάνοιαν ἐμοὶ τῷ ἁμαρτωλῷ, ἐν οἷσπερ εἰς ἀγανάκτησίν σου διεπραξάμην, γυμνὸς καὶ τετραχυλισμένος ἐνώπιόν σου παρίσταμαι καρδιογνῶστα Κύριε, ἐξομολογούμενος τὰς ἐμὰς ἁμαρτίας. οὐ γὰρ δύναμαι ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ Οὐρανοῦ ὑπὸ τοῦ βάρους τῶν ἁμαρτιῶν μου καμπτόμενος. Φώτισον οὖν τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου, καὶ δός μοι κατάνυξιν πρὸς μετάνοιαν, καὶ συντριβὴν καρδίας πρὸς διόρθωσιν, ἵνα μετὰ χρηστῆς ἐλπίδος καὶ ἀγαθοῦς πληροφορίας πρὸς τὸν ἐκεῖθεν κόσμον πορεύσωμαι, αἰνῶν καὶ εὐλογῶν, διὰ παντὸς τὸ παναγιόν σου ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τὰ ἑξῆς.



Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑΘΙΣΜΑ ΔΕΚΑΤΟΝ ΠΡΩΤΟΝ.

Ἁρμονίης Ἱερῆς μελιηδέα ᾄσματα Δαβίδ.

Συνέσεως τῷ Ἀσάφ. οζ. 77.

Προσέχετε λαός μου τῷ νόμῳ μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου.

Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ᾽ ἀρχῆς.

Ὅσα ἠκούσαμεν, καὶ ἔγνωμεν αὐτὰ, καὶ οἱ Πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.

Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν.

Ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου, καὶ τὰς δυναστείας αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε.

Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακὼβ, καὶ νόμον ἔθετο ἐν Ἰσραήλ.

Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, τοῦ γνωρίσαι αὐτὰ τοῖς Υἱοῖς αὐτῶν. Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα.

Υἱοὶ οἱ τεχθησόμενοι, καὶ ἀναστήσονται, καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς Υἱοῖς αὐτῶν.

Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν.

Ἵνα μὴ γένωνται ὡς οἱ Πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα.

Γενεὰ, ἥτις οὐ κατεύθυνε τὴν καρδίαν ἑαυτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.



Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Υἱοὶ Ἐφραὶμ ἐντείνοντες, ϗ βάλλοντες τόξοις, ἐςράφησαν ἐν ἡμέρᾳ πολέμε.

Οὐκ ἐφύλαξαν τὴν διαθήκην τε Θεε, ϗ ἐν τῷ νόμῳ αὐτε ἐκ ἠβελήθησαν πορεύεσθαι.

Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτε, ϗ τῶν θαυμασίων αὐτε, ὧν ἔδειξεν αὐτοῖς.

Ἐναντίον τῶν Πατέρων αὐτῶν, ἃ ἐποίησε θαυμάσια, ἐν γῇ Αἰγύπτῳ, ἐν πεδίῳ Τάνεως.

Διέῤῥηξε θάλασσαν, ϗ διήγαγεν αὐτές. Παρέςησεν ὕδατα ὡσεὶ ἀσκόν.

Καὶ ὡδήγησεν αὐτὲς ἐν νεφέλῃ ἡμέρας, ϗ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.

Διέῤῥηξε πέτραν ἐν ἐρήμῳ, ϗ ἐπότισεν αὐτὲς ὡς ἐν ἀβύσσῳ πολλῇ.

Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, ϗ κατήγαγεν ὡς ποταμὲς ὕδατα.

Καὶ προσέθεντο ἔτι τε ἁμαρτανειν αὐτῷ. Παρεπίκραναν τὸν Ὕψιςον ἐν ἀνύδρῳ.

Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν, τε αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν.

Καὶ κατελάλησαν τε Θεε, ϗ εἶπον· Μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν, ἐν ἐρήμῳ;

Ἐπεὶ ἐπάταξε πέτραν, ϗ ἐῤῥύησαν ὕδατα ϗ χείμαῤῥοι κατεκλύσθησαν.

Μὴ ϗ ἄρτον δύναται δεναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτε;

Διὰ τετο ἤκεσε Κύριος, ϗ ἀνεβάλετο, ϗ πῦρ ἀνήφθη ἐν Ἰακὼβ, ϗ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ.

Ὅτι ἐκ ἐπίςευσαν ἐν τῷ Θεῷ, ἐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτε.

Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, ϗ θύρας Οὐρανε ἀνέῳξε.

Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν, ϗ ἄρτον Οὐρανε ἔδωκεν αὐτοῖς.

Ἄρτον Ἀγγέλων ἔφαγεν ἄνθρωπος, ἐπισιτισμὸν ἀπέςειλεν αὐτοῖς εἰς πλησμονήν.

Ἀπῆρε νότον ἐξ Οὐρανε, ϗ ἐπήγαγεν ἐν τῇ δυνάμει αὐτε Λίβα.

Καὶ ἔβρεξεν ἐπ' αὐτὲς ὡσεὶ χνεν σάρκας, ϗ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά.

Καὶ ἐπέπεσον ἐν μέσῳ τῆς παρεμβολῆς αὐτῶν, κύκλω τῶν σκηνωμάτων αὐτῶν.

Καὶ ἔφαγον, ϗ ἐνεπλήσθησαν σφόδρα, ϗ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς. Οὐκ ἐςερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἔτι τῆς βρώσεως ἔσης ἐν τῷ σόματι αὐτῶν, ϰ ὀργὴ τȣ̃ Θεȣ̃ ἀνέβη ἐπ᾽ αὐτȣ̀ς.
Καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν, ϰ τȣ̀ς ἐκλεκτȣ̀ς τȣ̃ Ἰσραὴλ συνεπόδισεν.
Ἐν πᾶσι τȣ́τοις ἥμαρτον ἔτι, ϰ ἐκ ἐπίςευσαν ἐν τοῖς θαυμασίοις αὐτȣ̃.
Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, ϰ τὰ ἔτη αὐτῶν μετὰ σπȣδῆς.
Ὅταν ἀπέκτεινεν αὐτȣ̀ς, τότε ἐξεζήτȣν αὐτὸν, ϰ ἐπέςρεφον, ϰ ὤρθριζον πρὸς τὸν Θεόν.
Καὶ ἐμνήσθησαν, ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐςι, ϰ ὁ Θεὸς ὁ ὕψιςος λυτρωτὴς αὐτῶν ἐςι.
Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ σόματι αὐτῶν, ϰ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ.
Ἡ δὲ καρδία αὐτῶν ἐκ εὐθεῖα μετ᾽ αὐτȣ̃, ἐδὲ ἐπιςώθησαν ἐν τῇ διαθήκῃ αὐτȣ̃.
Αὐτὸς δέ ἐςιν οἰκτίρμων, ϰ ἱλάσκεται ταῖς ἁμαρτίαις αὐτῶν, ϰ ἐ διαφθερεῖ.
Καὶ πληθυνεῖ τȣ̃ ἀποςρέψαι τὸν θυμὸν αὐτȣ̃, ϰ ἐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτȣ̃.
Καὶ ἐμνήσθη, ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον, ϰ ἐκ ἐπιςρέφον.
Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ;
Καὶ ἐπέςρεψαν, ϰ ἐπείρασαν τὸν Θεὸν, ϰ τὸν ἅγιον τȣ̃ Ἰσραὴλ παρώξυναν.
Καὶ ἐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτȣ̃, ἡμέρας ἧς ἐλυτρώσατο αὐτȣ̀ς ἐκ χειρὸς θλίβοντος.
Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτȣ̃, ϰ τὰ τέρατα αὐτȣ̃ ἐν πεδίῳ Τάνεως.
Καὶ μετέςρεψεν εἰς αἷμα τȣ̀ς ποταμȣ̀ς αὐτῶν, ϰ τὰ ὀμβρήματα αὐτῶν ὅπως μὴ πίωσιν.
Ἐξαπέςειλεν εἰς αὐτȣ̀ς κυνόμυιαν, ϰ κατέφαγεν αὐτȣ̀ς, ϰ βάτραχον, ϰ διέφθειρεν αὐτȣ́ς.
Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τȣ̀ς καρπȣ̀ς αὐτῶν, ϰ τȣ̀ς πόνȣς αὐτῶν τῇ ἀκρίδι.

Δημόσια Βιβλιοθήκη Κ...λεών

Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, ϗ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ.

Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν, ϗ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί.

Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν, ϗ ὀργὴν, ϗ θλίψιν, ἀποστολὴν δι᾽ Ἀγγέλων πονηρῶν.

Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ, ϗ οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν, ϗ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε.

Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ Αἰγύπτῳ, ἀπαρχὴν παντὸς πόνου αὐτῶν, ἐν τοῖς σκηνώμασι Χάμ.

Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, ϗ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ.

Καὶ ὡδήγησεν αὐτοὺς ἐπ᾽ ἐλπίδι, ϗ οὐκ ἐδειλίασαν, ϗ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα.

Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ.

Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν Ἔθνη, ϗ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας.

Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ.

Καὶ ἐπείρασαν, ϗ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον, ϗ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο.

Καὶ ἀπέστρεψαν, ϗ ἠθέτησαν, καθὼς ϗ οἱ πατέρες αὐτῶν, μετεστράφησαν εἰς τόξον στρεβλόν.

Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, ϗ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.

Ἤκουσεν ὁ Θεὸς, ϗ ὑπερεῖδε, ϗ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ.

Καὶ ἀπώσατο τὴν σκηνὴν Σιλὼμ, σκήνωμα, ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις.

Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, ϗ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθρῶν.

Καὶ συνέκλεισεν ἐν ῥομφαίᾳ τὸν λαὸν αὐτοῦ, ϗ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε.

Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ, ϗ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν.

Οἱ Ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον, ϗ αἱ χῆραι αὐτῶν οὐ κλαυθήσονται.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ ἐξηγέρθη ὡς ὁ ὕπνῶν Κύριος, ὡς δυνατὸς, ϗ κεκραιπαληκὼς ἐξ οἴνȣ.

Καὶ ἐπάταξε τȣ̀ς ἐχθρȣ̀ς αὐτȣ̃ εἰς τὰ ὀπίσω. Ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.

Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσὴφ, ϗ τὴν φυλὴν Ἐφραῒμ ἐκ ἐξελέξατο.

Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰȣ́δα, τὸ ὄρος τὸ Σιὼν, ὃ ἠγάπησε.

Καὶ ᾠκοδόμησεν ὡς μονοκέρωτος τὸ ἁγίασμα αὐτȣ̃ ἐν τῇ γῇ, ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.

Καὶ ἐξελέξατο Δαβὶδ τὸν δȣ̃λον αὐτȣ̃, ϗ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων.

Ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτὸν, ποιμαίνειν Ἰακὼβ τὸν δȣ̃λον αὐτȣ̃, ϗ Ἰσραὴλ τὴν κληρονομίαν αὐτȣ̃.

Καὶ ἐποίμανεν αὐτȣ̀ς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτȣ̃, ϗ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτȣ̃ ὡδήγησεν αὐτȣ́ς.

Δόξα, ϗ νῦν. Ἀλληλȣΐα.

## Ψαλμὸς τῷ Ἀσάφ. οή. 78.

Ὁ Θεὸς ἤλθοσαν Ἔθνη εἰς τὴν κληρονομίαν σȣ, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σȣ.

Ἔθεντο Ἰερȣσαλὴμ ὡς ὀπωροφυλάκιον. Ἔθεντο τὰ θνησιμαῖα τῶν δȣ́λων σȣ, βρώματα τοῖς πετεινοῖς τȣ̃ Οὐρανȣ̃, τὰς σάρκας τῶν ὁσίων σȣ τοῖς θηρίοις τῆς γῆς.

Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ Ἰερȣσαλὴμ, ϗ ἐκ ἦν ὁ θάπτων.

Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς, ϗ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.

Ἕως πότε Κύριε ὀργισθήσῃ εἰς τέλος; ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σȣ;

Ἔκχεον τὴν ὀργήν σȣ ἐπὶ τὰ Ἔθνη τὰ μὴ γινώσκοντά σε, ϗ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σȣ ἐκ ἐπεκαλέσαντο.

Ὅτι κατέφαγον τὸν Ἰακὼβ, ϗ τὸν τόπον αὐτȣ̃ ἠρήμωσαν.

Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σȣ Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα.

Βοήθησον ἡμῖν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τȣ̃ ὀνόματός σȣ. Κύριε ῥῦσαι ἡμᾶς, ϗ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τȣ̃ ὀνόματός σȣ. Μή-

Δημόσια Βιβλιοθήκη Μηλεών

Μήποτε εἴπωσι τὰ Ἔθνη, πȣ͂ ἐςιν ὁ Θεὸς αὐτῶν, ϗ γνωσθήτω ἐν τοῖς Ἔθνεσιν, ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν.

Ἡ ἐκδίκησις τȣ͂ αἵματος τῶν δȣ́λων σȣ τȣ͂ ἐκκεχυμένȣ. Εἰσελθέτω ἐνώπιόν σȣ ὁ ςεναγμὸς τῶν πεπεδημένων.

Κατὰ τὴν μεγαλωσύνην τȣ͂ βραχίονός σȣ, περιποίησαι τȣ̀ς Υἱȣ̀ς τῶν τεθανατωμένων.

Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν, τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε Κύριε.

Ἡμεῖς δὲ λαός σȣ, ϗ πρόβατα νομῆς σȣ. Ἀνθομολογησόμεθά σοι ὁ Θεὸς εἰς τὸν αἰῶνα.

Εἰς γενεὰν ϗ γενεὰν ἐξαγγελȣ͂μεν τὴν αἴνεσίν σȣ.

Εἰς τὸ τέλος. Ὑπὲρ τῶν ἀλλοιωθησομένων, μαρτύριον τῷ Ἀσάφ.

Ψαλμὸς ὑπὲρ τȣ͂ Ἀσσυρίȣ. οθʹ. 79.

Ὁ Ποιμαίνων τὸν Ἰσραὴλ, πρόσχες. Ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ.

Ὁ καθήμενος ἐπὶ τῶν Χερȣβὶμ ἐμφάνηθι, ἐναντίον Ἐφραὶμ, ϗ Βενιαμὶν, ϗ Μανασσῆ.

Ἐξέγειρον τὴν δυναςείαν σȣ, ϗ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.

Ὁ Θεὸς ἐπίςρεψον ἡμᾶς, ϗ ἐπίφανον τὸ πρόσωπόν σȣ, ϗ σωθησόμεθα.

Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δȣ́λων σȣ;

Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, ϗ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ.

Ἔθȣ ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, ϗ οἱ ἐχθροὶ ἡμῶν, ἐμυκτήρισαν ἡμᾶς.

Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίςρεψον ἡμᾶς, ϗ ἐπίφανον τὸ πρόσωπόν σȣ· ϗ σωθησόμεθα.

Ἄμπελον ἐξ Αἰγύπτȣ μετῆρας. Ἐξέβαλες Ἔθνη, ϗ κατεφύτευσας αὐτήν.

Ὡδοποίησας ἔμπροσθεν αὐτῆς, ϗ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, ϗ ἐπλήρωσε τὴν γῆν.

Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, ϗ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρȣς τȣ͂ Θεȣ͂.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐξέτανε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς.
Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;
Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.
Ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δή, καὶ ἐπίβλεψον ἐξ Οὐρανοῦ, καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην.
Καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου. Καὶ ἐπὶ Υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.
Ἐμπεπυρισμένη πυρὶ, καὶ ἀνεσκαμμένη, ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.
Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου, καὶ ἐπὶ Υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.
Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ. Ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.
Κύριε ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου καὶ σωθησόμεθα.

Εἰς τὸ τέλος·

Ὑπὲρ τῶν ληνῶν, Ψαλμὸς ᾠδῆς τῷ Ἀσάφ. π'. 80.

Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν. ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ.
Λάβετε ψαλμὸν, καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας.
Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν.
Ὅτι πρόσταγμα τῷ Ἰσραήλ ἐστι, καὶ κρῖμα τῷ Θεῷ Ἰακώβ. Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτὸν, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου. Γλῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσεν.
Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ. Αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.
Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐῤῥυσάμην σε. Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος. Ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.
Ἄκουσον λαός μου, καὶ διαμαρτύρομαί σοι. Ἰσραὴλ ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου. Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό.

Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι.

Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν. πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

Εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη.

Ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα, καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου.

Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ, καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.

Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ, καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

Δόξα, καὶ νῦν. ἀλληλούϊα.

Ψαλμὸς τῷ Ἀσάφ. πά. 81.

Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ Θεῶν, ἐν μέσῳ δὲ Θεοὺς διακρινεῖ.

Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;

Κρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε.

Ἐξέλεσθε πένητα, καὶ πτωχὸν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν.

Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται. Σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς.

Ἐγὼ εἶπα, Θεοί ἐστε, καὶ Υἱοὶ Ὑψίστου πάντες.

Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

Ἀνάστα ὁ Θεὸς, κρίνων τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς Ἔθνεσιν.

Ὠδὴ Ψαλμὸς τῷ Ἀσάφ. πβ΄. 82.

Ὁ Θεὸς τίς ὁμοιωθήσεταί σοι; μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς ὁ Θεός.

Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν.

Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.

Εἰ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εἶπον, δεῦτε ϗ ἐξολοθρεύσωμεν αὐτὲς ἐξ Ἔθνες, ϗ ὁ μὴ μνησθῇ, τὸ ὄνομα Ἰσραὴλ ἔτι.

Ὅτι ἐβελεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτὸ, κατὰ σε̃ διαθήκην διέθεντο. Τὰ σκηνώματα τῶν Ἰδεμαίων, ϗ οἱ Ἰσμαηλῖται.

Μωὰβ, ϗ οἱ Ἀγαρηνοὶ, Γεβὰλ, ϗ Ἀμμὼν, ϗ Ἀμαλὴκ, ἀλλόφυλοι μετὰ τῶν κατοικέντων Τύρον.

Καὶ γὰρ ϗ Ἀσσὲρ συμπαρεγένετο μετ᾽ αὐτῶν. ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς Υἱοῖς Λώτ.

Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ, ϗ τῷ Σισάρᾳ, ὡς τῷ Ἰαβεὶμ ἐν τῷ χειμάῤῥῳ Κισσῶν.

Ἐξωλοθρεύθησαν ἐν Ἀενδώρ. ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ.

Θε̃ τὲς ἄρχοντας αὐτῶν, ὡς τὸν Ὠρὴβ, ϗ Ζὴβ, ϗ Ζεβεὲ, ϗ Σαλμανᾶν.

Πάντας τὲς ἄρχοντας αὐτῶν· οἵτινες εἶπον, κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαςήριον τε̃ Θεε̃.

Ὁ Θεός με θε̃ αὐτὲς ὡς τροχὸν, ὡς καλάμην κατὰ πρόσωπον ἀνέμε.

Ὡσεὶ πῦρ, ὃ διαφλέξει δρυμόν. Ὡσεὶ φλὸξ, ἣ κατακαύσει ὄρη.

Οὕτω καταδιώξεις αὐτὲς ἐν τῇ καταιγίδι σε ϗ ἐν τῇ ὀργῇ σε συνταράξεις αὐτές.

Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας, ϗ ζητήσεσι τὸ ὄνομά σε Κύριε.

Αἰσχυνθήτωσαν, ϗ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τε̃ αἰῶνος, ϗ ἐντραπήτωσαν, ϗ ἀπολέσθωσαν.

Καὶ γνώτωσαν, ὅτι ὄνομά σοι Κύριος. Σὺ μόνος ὕψιςος ἐπὶ πᾶσαν τὴν γῆν.

Εἰς τὸ τέλος.

Ὑπὲρ τῶν λινῶν, τοῖς υἱοῖς Κορὲ, Ψαλμὸς πγ'. 83.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σε Κύριε τῶν δυνάμεων. Ἐπιποθεῖ, ϗ ἐκλείπει ἡ ψυχή με εἰς τὰς αὐλὰς τε̃ Κυρίε.

Ἡ καρδία με, ϗ ἡ σάρξ με ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.

Καὶ γὰρ ςρεθίον εὗρεν ἑαυτῷ οἰκίαν, ϗ τρυγὼν νοσσιὰν ἑαυτῇ, ὃ θήσει τὰ νοσσία ἑαυτῆς.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Τὰ θυσιαςήριά σε Κύριε τῶν δυνάμεων, ὁ Βασιλεύς με, ϗ ὁ Θεός με.
Μακάριοι οἱ κατοικεντες ἐν τῷ οἴκῳ σε, εἰς τες αἰῶνας τῶν αἰώνων αἰνέσεσί σε.
Μακάριος ἀνὴρ, ᾧ ἐςὶν ἀντίληψις αὐτῷ παρὰ σοί. Ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτε διέθετο. εἰς τὴν κοιλάδα τε κλαυθμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο.
Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν. Πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν. Ὀφθήσεται ὁ Θεὸς τῶν Θεῶν ἐν Σιών.
Κύριε ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκεσον τῆς προσευχῆς με, ἐνώτισαι ὁ Θεὸς Ἰακώβ.
Ὑπερασπιςὰ ἡμῶν, ἴδε ὁ Θεὸς, ϗ ἐπίβλεψον εἰς τὸ πρόσωπον τε Χριςε σε.
Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σε ὑπὲρ χιλιάδας.
Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τε Θεε με μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.
Ὅτι ἔλεος, ϗ ἀλήθειαν ἀγαπᾷ Κύριος. Ὁ Θεὸς χάριν ϗ δόξαν δώσει.
Κύριος ἐ σερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.
Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

Εἰς τὸ τέλος.

Τοῖς υἱοῖς Κορὲ, Ψαλμός. πδ'. 84.

Εὐδόκησας Κύριε τὴν γῆν σε, ἀπέςρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ.
Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σε. ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.
Κατέπαυσας πᾶσαν τὴν ὀργήν σε, ἀπέςρεψας ἀπὸ ὀργῆς θυμε σε.
Ἐπίςρεψον ἡμᾶς ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ϗ ἀπόςρεψον τὸν θυμόν σε ἀφ' ἡμῶν;
Μὴ εἰς τες αἰῶνας ὀργισθῇς ἡμῖν; ἢ διατενεῖς τὴν ὀργήν σε ἀπὸ γενεᾶς εἰς γενεάν;
Ὁ Θεὸς, σὺ ἐπιςρέψας ζωώσεις ἡμᾶς, ϗ ὁ λαός σε εὐφρανθήσεται ἐπὶ σοί.
Δεῖξον ἡμῖν Κύριε τὸ ἔλεός σε, ϗ τὸ σωτήριόν σε, δῴης ἡμῖν.
Ἀκέσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός. Ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτε, ϗ ἐπὶ τες ὁσίες αὐτε, ϗ ἐπὶ τες ἐπιςρέφοντας καρδίαν ἐπ' αὐτόν. Πλὴν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλιών

Πλὴν ἐγγὺς τῶν φοβεμένων αὐτὸν τὸ σωτήριον αὐτῦ, τῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.
Ἔλεος, ϗ ἀλήθεια συνήντησαν, δικαιοσύνη ϗ εἰρήνη κατεφίλησαν.
Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, ϗ δικαιοσύνη ἐκ τῦ Οὐρανῦ διέκυψε.
Καὶ γὰρ ὁ Κύριος δώσει χρηςότητα, ϗ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.
Δικαιοσύνη ἐνώπιον αὐτῦ προπορεύσεται, ϗ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτῦ.

Δόξα, καὶ νῦν Ἀλληλούια.

Τὸ Τρισάγιον, εἶτα τὰ Τροπάρια. ἦχος βαρύς.

Ἔχȣσα ψυχή με τὸ ἰατρεῖον τῆς μετανοίας, πρόσελθε δακρύȣσα ἐν ςεναγμοῖς κραυγάζȣσα τῷ ἰατρῷ ψυχῶν τε ϗ σωμάτων, ἐλευθέρωσόν με φιλάνθρωπε ἐκ τῶν ἐμῶν πλημμελημάτων, συναρίθμησόν με τῇ πόρνῃ ϗ τῷ λῃςῇ ϗ τῷ τελώνῃ, ϗ δώρησαί μοι ὁ Θεὸς τῶν ἀνομιῶν μȣ τὴν συγχώρησιν, ϗ σῶσον με. Δόξα

Τȣ̃ Τελώνȣ τὴν μετάνοιαν ȣ̓κ ἐζήλωσα, ϗ τῆς Πόρνης τὰ δάκρυα ȣ̓ κέκτημαι, ἀπορῶ γὰρ ἐκ πυρώσεως τῆς τοιαύτης διορθώσεως. Ἀλλὰ τῇ σῇ εὐσπλαγχνίᾳ σῶσον με Χριςὲ ὁ Θεὸς ϗ φιλάνθρωπος.

Καὶ νῦν.

Θεοτόκε Παρθένε ἀμίαντε, τὸν υἱόν σȣ δυσώπει σὺν ταῖς ἄνω δυνάμεσι, συγχώρησιν πταισμάτων ἡμῖν πρὸ τέλȣς δωρήσασθαι, ϗ τὸ μέγα ἔλεος.

Τὸ Κύριε ἐλέησον μ' ϗ ἡ εὐχή.

Λάμψον ἐν ταῖς καρδίαις ἡμῶν φιλάνθρωπε Κύριε, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τȣ̀ς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμȣ̀ς εἰς τὴν τῶν Εὐαγγελικῶν σȣ κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τῶν μακαρίων σȣ ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέςησίν σȣ φρονȣ̃ντες ϗ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς καὶ ἁγιασμὸς ϗ σωτὴρ τῶν ψυχῶν ἡμῶν, ϗ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ ΔΕ'ΚΑΤΟΝ ΔΕΥ'ΤΕΡΟΝ.

Προσευχὴ τῷ Δαβίδ. πε. 85.

Κλῖνον Κύριε τὸ ὖς σε, ᾗ ἐπάκεσόν με, ὅτι πτωχὸς, ᾗ πένης εἰμὶ ἐγώ.
Φύλαξον τὴν ψυχήν με, ὅτι ὅσιός εἰμι. Σῶσον τὸν δελόν σε ὁ Θεός με τὸν ἐλπίζοντα ἐπὶ σέ.
Ἐλέησόν με κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν.
Εὔφρανον τὴν ψυχὴν τε δέλε σε, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν με.
Ὅτι σὺ Κύριε χρηςὸς, ᾗ ἐπιεικὴς, ᾗ πολυέλεος πᾶσι τοῖς ἐπικαλεμένοις σε.
Ἐνώτισαι Κύριε τὴν προσευχήν με, ᾗ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς με.
Ἐν ἡμέρᾳ θλίψεώς με ἐκέκραξα πρὸς σὲ, ὅτι ἐπήκεσάς με.
Οὐκ ἔςιν ὅμοιός σοι ἐν Θεοῖς Κύριε, ᾗ ἐκ ἔςι κατὰ τὰ ἔργα σε.
Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξεσι, ᾗ προσκυνήσεσιν ἐνώπιόν σε Κύριε, ᾗ δοξάσεσι τὸ ὄνομά σε.
Ὅτι μέγας εἶ σὺ, ᾗ ποιῶν θαυμάσια, σὺ εἶ Θεὸς μόνος.
Ὁδήγησόν με Κύριε ἐν τῇ ὁδῷ σε, ᾗ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σε.
Εὐφρανθήτω ἡ καρδία με, τε φοβεῖσθαι τὸ ὄνομά σε.
Ἐξομολογήσομαί σοι Κύριε ὁ Θεός με ἐν ὅλῃ καρδίᾳ με, ᾗ δοξάσω τὸ ὄνομά σε εἰς τὸν αἰῶνα.
Ὅτι τὸ ἔλεός σε μέγα ἐπ' ἐμὲ, ᾗ ἐῤῥύσω τὴν ψυχήν με ἐξ ᾅδε κατωτάτε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ο' Θεὸς, παράνομοι ἐπανέςησαν ἐπ' ἐμὲ, ϗ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν με, ϗ ȣ προέθεντό σε ἐνώπιον αὐτῶν.

Καὶ σὺ Κύριε ὁ Θεός με, οἰκτίρμων, ϗ ἐλεήμων, μακρόθυμος, ϗ πολυέλεος, ϗ ἀληθινός.

Ε'πίβλεψον ἐπ' ἐμὲ, ϗ ἐλέησόν με. Δὸς τὸ κράτος σε τῷ παιδί σε, ϗ σῶσον τὸν Υἱὸν τῆς παιδίσκης σε.

Ποίησον μετ' ἐμε͂ σημεῖον εἰς ἀγαθὸν, ϗ ἰδέτωσαν οἱ μισε͂ντές με, ϗ αἰσχυνθήτωσαν. Ο'τι σὺ Κύριε ἐβοήθησάς μοι, ϗ παρεκάλεσάς με.

Τοῖς υἱοῖς Κορὲ, Ψαλμὸς ᾠδῆς. πϛ'. 86.

Οἱ θεμέλιοι αὐτε͂ ἐν τοῖς ὄρεσι τοῖς Α'γίοις. Α'γαπᾷ Κύριος τὰς πύλας Σιὼν, ὑπὲρ πάντα τὰ σκηνώματα Ι'ακώβ.

Δεδοξασμένα ἐλαλήθη περὶ σε͂ ἡ πόλις τε͂ Θεε͂.

Μνησθήσομαι Ρ'αὰβ, ϗ Βαβυλῶνος τοῖς γινώσκεσί με.

Καὶ ἰδὲ ἀλλόφυλοι, ϗ Τύρος, ϗ λαὸς τῶν Αἰθιόπων. Οὗτοι ἐγεννήθησαν ἐκεῖ.

Μήτηρ Σιὼν, ἐρεῖ ἄνθρωπος, ϗ ἄνθρωπος ἐγενήθη ἐν αὐτῇ, ϗ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιςος.

Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, ϗ ἀρχόντων τε͂των, τῶν γεγενημένων ἐν αὐτῇ.

Ω'ς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

Ω'δὴ Ψαλμε͂ τοῖς υἱοῖς Κορὲ, εἰς τὸ τέλος ὑπὲρ Μαελὲθ τε͂ ἀποκριθῆναι λόγον συνέσεως Αἰθὰμ τῷ Ι'σραηλίτῃ. πζ'. 87.

Κύριε ὁ Θεὸς τῆς σωτηρίας με. ἡμέρας ἐκέκραξα, ϗ ἐν νυκτὶ ἐναντίον σε.

Ε'ἰσελθέτω ἐνώπιόν σε ἡ προσευχή με. Κλῖνον τὸ ȣ͂ς σε εἰς τὴν δέησίν με.

Ο'τι ἐπλήσθη κακῶν ἡ ψυχή με, ϗ ἡ ζωή με τῷ ᾅδῃ ἤγγισε.

Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον. Ε'γενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.

Ω'σεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, ϗ αὐτοὶ ἐκ τῆς χειρός σε ἀπώσθησαν.

Ε'θεντό με ἐν λάκκῳ κατωτάτω, ἐν σκοτεινοῖς, ϗ ἐν σκιᾷ θανάτε.

Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐπ' ἐμὲ ἐπεςηρίχθη ὁ θυμός σȣ, ἢ πάντας τȣ̀ς μετεωρισμȣ́ς σȣ ἐπήγαγες ἐπ' ἐμέ.
Ἐμάκρυνας τȣ̀ς γνωςȣ́ς μȣ ἀπ' ἐμȣ͂, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.
Παρεδόθην, ἢ ȣ̓κ ἐξεπορευόμην. Οἱ ὀφθαλμοί μȣ ἠσθένησαν ἀπὸ πτωχείας.
Ἐκέκραξα πρὸς σὲ Κύριε ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖρας μȣ.
Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναςήσȣσι, ἢ ἐξομολογήσονταί σοι;
Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σȣ, ἢ τὴν ἀλήθειάν σȣ ἐν τῇ ἀπωλείᾳ.
Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σȣ, ἢ ἡ δικαιοσύνη σȣ ἐν γῇ ἐπιλελησμένῃ;
Κἀγὼ πρὸς σὲ Κύριε ἐκέκραξα, ἢ τὸ πρωῒ ἡ προσευχή μȣ προφθάσει σε.
Ἵνα τί Κύριε ἀπωθῇ τὴν ψυχήν μȣ, ἀποςρέφεις τὸ πρόσωπόν σȣ ἀπ' ἐμȣ͂;
Πτωχός εἰμι ἐγὼ, ἢ ἐν κόποις ἐκ νεότητός μȣ. Ὑψωθεὶς δὲ, ἐταπεινώθην, ἢ ἐξηπορήθην.
Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σȣ. Οἱ φοβερισμοί σȣ ἐξετάραξάν με.
Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ. Ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.
Ἐμάκρυνας ἀπ' ἐμȣ͂ φίλον ἢ πλησίον, ἢ τȣ̀ς γνωςȣ́ς μȣ ἀπὸ ταλαιπωρίας.

Δόξα, ἢ νῦν. ἀλληλȣ́ϊα.

Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ. πή. 88.

Τὰ ἐλέη σȣ Κύριε εἰς τὸν αἰῶνα ᾄσομαι.
Εἰς γενεὰν ἢ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σȣ ἐν τῷ ςόματί μȣ.
Ὅτι εἶπας, εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, ἐν τοῖς Οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σȣ.
Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μȣ, ὤμοσα Δαβὶδ τῷ δȣ́λῳ μȣ.
Ἕως τȣ͂ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σȣ.
Καὶ οἰκοδομήσω εἰς γενεὰν ἢ γενεὰν τὸν θρόνον σȣ.
Ἐξομολογήσονται οἱ Οὐρανοὶ τὰ θαυμάσιά σȣ Κύριε, ἢ γὰρ τὴν ἀλήθειάν σȣ ἐν Ἐκκλησίᾳ ἁγίων.

Δημόσια Βιβλιοθήκη Μηλεών

Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; ϗ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν Υἱοῖς Θεȣ̃;

Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βȣλῇ ἁγίων, μέγας ϗ φοβερός ἐςιν ἐπὶ πάντας τȣ̀ς περὶ κύκλῳ αὐτȣ̃.

Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι; δυνατὸς εἶ Κύριε, ϗ ἡ ἀλήθειά σȣ κύκλῳ σȣ.

Σὺ δεσπόζεις τȣ̃ κράτȣς τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις.

Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον, ἐν τῷ βραχίονι τῆς δυνάμεώς σȣ διεσκόρπισας τȣ̀ς ἐχθρȣ́ς σȣ.

Σοί εἰσιν οἱ Οὐρανοὶ, ϗ σή ἐςιν ἡ γῆ. Τὴν Οἰκȣμένην, ϗ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας. Τὸν Βοῤῥᾶν, ϗ τὴν θάλασσαν σὺ ἔκτισας.

Θαβὼρ, ϗ Ἑρμὼν ἐν τῷ ὀνόματί σȣ ἀγαλλιάσονται. Σὸς ὁ βραχίων μετὰ δυναςείας.

Κραταιωθήτω ἡ χείρ σȣ, ὑψωθήτω ἡ δεξιά σȣ. Δικαιοσύνη ϗ κρῖμα, ἑτοιμασία τȣ̃ θρόνȣ σȣ.

Ἔλεος, ϗ ἀλήθεια προπορεύσονται πρὸ προσώπȣ σȣ. Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.

Κύριε ἐν τῷ φωτὶ τȣ̃ προσώπȣ σȣ πορεύσονται, ϗ ἐν τῷ ὀνόματί σȣ ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν, ϗ ἐν τῇ δικαιοσύνῃ σȣ ὑψωθήσονται.

Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ, ϗ ἐν τῇ εὐδοκίᾳ σȣ ὑψωθήσεται τὸ κέρας ἡμῶν.

Ὅτι τȣ̃ Κυρίȣ ἡ ἀντίληψις, ϗ τȣ̃ ἁγίȣ Ἰσραὴλ Βασιλέως ἡμῶν.

Τότε ἐλάλησας ἐν ὁράσει τοῖς Υἱοῖς σȣ, ϗ εἶπας. ἐθέμην βοήθειαν ἐπὶ δυνατόν. Ὕψωσα ἐκλεκτὸν ἐκ τȣ̃ λαȣ̃ μȣ.

Εὗρον Δαβὶδ τὸν δȣ̃λόν μȣ, ἐν ἐλαίῳ ἁγίῳ μȣ ἔχρισα αὐτόν.

Ἡ γὰρ χείρ μȣ συναντιλήψεται αὐτῷ, ϗ ὁ βραχίων μȣ κατισχύσει αὐτόν.

Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, ϗ υἱὸς ἀνομίας ȣ̓ προσθήσει τȣ̃ κακῶσαι αὐτόν.

Καὶ συγκόψω ἀπὸ προσώπȣ αὐτȣ̃ τȣ̀ς ἐχθρȣ̀ς αὐτȣ̃, ϗ τȣ̀ς μισȣ̃ντας αὐτὸν τροπώσομαι.

Καὶ ἡ ἀλήθειά μȣ, ϗ τὸ ἔλεός μȣ μετ᾽ αὐτȣ̃, ϗ ἐν τῷ ὀνόματί μȣ ὑψωθήσεται τὸ κέρας αὐτȣ̃.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτῦ, ϗ ἐν ποταμοῖς δεξιὰν αὐτῦ.

Αὐτὸς ἐπικαλέσεταί με, πατήρ μυ εἶ σὺ, Θεός μυ, ϗ ἀντιλήπτωρ τῆς σωτηρίας μυ.

Κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μυ, ϗ ἡ διαθήκη μυ πιςὴ αὐτῷ.

Καὶ θήσομαι εἰς τὸν αἰῶνα τῦ αἰῶνος τὸ σπέρμα αὐτῦ, ϗ τὸν θρόνον αὐτῦ, ὡς τὰς ἡμέρας τῦ ὐρανῦ.

Ἐὰν ἐγκαταλίπωσιν οἱ Υἱοὶ αὐτῦ τὸν νόμον μυ, ϗ τοῖς κρίμασί μυ μὴ πορευθῶσιν.

Ἐὰν τὰ δικαιώματά μυ βεβηλώσωσι, ϗ τὰς ἐντολάς μυ μὴ φυλάξωσιν.

Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, ϗ ἐν μάςιξι τὰς ἀδικίας αὐτῶν.

Τὸ δὲ ἔλεός μυ ὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν, ὐδ' ὐ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μυ.

Οὐδ' ὐ μὴ βεβηλώσω τὴν διαθήκην μυ, ϗ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μυ, ὐ μὴ ἀθετήσω.

Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μυ, εἰ τῷ Δαβὶδ ψεύσομαι. Τὸ σπέρμα αὐτῦ εἰς τὸν αἰῶνα μενεῖ.

Καὶ ὁ θρόνος αὐτῦ, ὡς ὁ ἥλιος ἐναντίον μυ, Καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, ϗ ὁ μάρτυς ἐν ὐρανῷ πιςός.

Σὺ δὲ ἀπώσω, ϗ ἐξυδένωσας, ἀνεβάλυ τὸν Χριςόν συ.

Κατέςρεψας τὴν διαθήκην τῦ δέλυ συ, ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτῦ.

Καθεῖλες πάντας τὺς φραγμὺς αὐτῦ, ἔθυ τὰ ὀχυρώματα αὐτῦ δειλίαν.

Διήρπαζον αὐτὸν πάντες οἱ διοδεύοντες ὁδὸν, ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτῦ.

Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτὸν, εὔφρανας πάντας τὺς ἐχθρὺς αὐτῦ.

Ἀπέςρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτῦ, ϗ ὐκ ἀντελάβυ αὐτῦ ἐν τῷ πολέμῳ.

Κατέλυσας ἀπὸ καθαρισμῦ αὐτῦ, τὸν θρόνον αὐτῦ εἰς τὴν γῆν κατέῤῥαξας.

Ἐσμίκρυνας τὰς ἡμέρας τῦ χρόνυ αὐτῦ, κατέχεας αὐτῦ αἰσχύνην.

Ἕως

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἕως πότε Κύριε ἀποστρέφῃ εἰς τέλος; ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου;
Μνήσθητι τίς μου ἡ ὑπόστασις. Μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς Υἱοὺς τῶν ἀνθρώπων;
Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον; ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου.
Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα Κύριε, ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου;
Μνήσθητι Κύριε τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν.
Οὗ ὠνείδισαν οἱ ἐχθροί σου Κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου.
Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα, γένοιτο, γένοιτο.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

Προσευχὴ Μωϋσῆ ἀνθρώπῳ τοῦ Θεοῦ. πθ'. 89.

Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ, καὶ γενεᾷ.
Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν, καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ.
Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, καὶ εἶπας, ἐπιστρέψατε Υἱοὶ τῶν ἀνθρώπων.
Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου Κύριε, ὡς ἡμέρα ἡ ἐχθὲς, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.
Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται. Τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι.
Τὸ πρωῒ ἀνθήσαι, καὶ παρέλθοι, τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη, καὶ ξηρανθείη.
Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.
Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου. Ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.
Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν.
Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων. αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, ϗ τὸ πλεῖον αὐτῶν κόπος ϗ πόνος.

Ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, ϗ παιδευθησόμεθα.

Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σȣ, ϗ ἀπὸ τȣ̃ φόβȣ σȣ ἐξαριθμήσασθαι,

Τὴν δεξιάν σȣ ὅτω γνώρισόν μοι, ϗ τȣ̀ς πεπαιδευμένȣς τῇ καρδίᾳ ἐν σοφίᾳ.

Ἐπίστρεψον Κύριε ἕως πότε; ϗ παρακλήθητι ἐπὶ τοῖς δȣ́λοις σȣ.

Ἐνεπλήσθημεν τὸ πρωῒ τȣ̃ ἐλέȣς σȣ Κύριε, ϗ ἠγαλλιασάμεθα, ϗ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν.

Εὐφρανθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά.

Καὶ ἴδε ἐπὶ τȣ̀ς δȣ́λȣς σȣ, ϗ ἐπὶ τὰ ἔργα σȣ, ϗ ὁδήγησον τȣ̀ς Υἱȣ̀ς αὐτῶν.

Καὶ ἔσω ἡ λαμπρότης Κυρίȣ τȣ̃ Θεȣ̃ ἡμῶν ἐφ' ἡμᾶς, ϗ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, ϗ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Αἶνος ᾠδῆς τῷ Δαβίδ.

Ἀνεπίγραφος παρ' Ἑβραίοις. ψ. 90.

Ὁ Κατοικῶν ἐν βοηθείᾳ τȣ̃ Ὑψίστȣ, ἐν σκέπῃ τȣ̃ Θεȣ̃ τȣ̃ ȣ̓ρανȣ̃ αὐλισθήσεται.

Ἐρεῖ τῷ Κυρίῳ ἀντιλήπτωρ μȣ εἶ, ϗ καταφυγή μȣ, ὁ Θεός μȣ, ϗ ἐλπιῶ ἐπ' αὐτόν.

Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, ϗ ἀπὸ λόγȣ ταραχώδȣς.

Ἐν τοῖς μεταφρένοις αὐτȣ̃ ἐπισκιάσει σοι, ϗ ὑπὸ τὰς πτέρυγας αὐτȣ̃ ἐλπιεῖς.

Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτȣ̃. ȣ̓ φοβηθήσει ἀπὸ φόβȣ νυκτερινȣ̃, ἀπὸ βέλȣς πετομένȣ ἡμέρας.

Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένȣ, ἀπὸ συμπτώματος, ϗ δαιμονίȣ μεσημβρινȣ̃.

Πεσεῖται ἐκ τȣ̃ κλίτȣς σȣ χιλιάς, ϗ μυριὰς ἐκ δεξιῶν σȣ, πρὸς σὲ δὲ ȣ̓κ ἐγγιεῖ.

Πλὴν τοῖς ὀφθαλμοῖς σȣ κατανοήσεις, ϗ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.

Ὅτι σὺ Κύριε ἡ ἐλπίς μȣ, τὸν ὕψιστον ἔθȣ καταφυγήν σȣ.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Οὐ προσελεύσεται πρὸς σὲ κακὰ, ϗ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.
Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.
Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.
Ἐπὶ ἀσπίδα, ϗ βασιλίσκον ἐπιβήσῃ, ϗ καταπατήσεις λέοντα, ϗ δράκοντα.
Ὅτι ἐπ᾽ ἐμὲ ἤλπισε, ϗ ῥύσομαι αὐτόν. Σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου.
Κεκράξεται πρός με, ϗ ἐπακούσομαι αὐτοῦ. Μετ᾽ αὐτοῦ εἰμι ἐν θλίψει. Ἐξελοῦμαι αὐτὸν, ϗ δοξάσω αὐτόν.
Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν, ϗ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

Τὸ Τρισάγιον, εἶτα τὰ Τροπάρια. Ἦχος βαρύς.

Ὁ τῆς πόρνης τὰ δάκρυα, ϗ τοῦ Πέτρου προσδεξάμενος Κύριε, ϗ Τελώνην δικαιώσας ἐκ βάθους στενάξαντα, κἀμὲ ἐν κατανύξει προσπίπτοντα οἴκτειρον Σωτήρ, ϗ ἐλέησόν με.

Δόξα.

Ἱλάσθητί μοι ὡς τὸν Τελώνην Κύριε, ϗ ὡς τὴν Πόρνην καθάρισόν με δέσποτα. ὡς τὴν Χαναναίαν ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος.

Καὶ νῦν.

Μήτηρ τοῦ φωτὸς εὐλογημένη Θεοτόκε, πρέσβευε Χριστῷ τῷ Θεῷ συνανατεῖλαι ὄρθρον, ϗ τὸ μέγα ἔλεος ταῖς ψυχαῖς ἡμῶν.

Τὸ Κύριε ἐλέησον μʹ ϗ ἡ εὐχή.

Κύριε ὁ Θεός μου, ὁ μόνος ἀγαθὸς ϗ φιλάνθρωπος, ὁ μόνος χρηστὸς καὶ ἐπιεικὴς, ὁ μόνος ἀληθινὸς ϗ δίκαιος, ὁ μόνος οἰκτίρμων ϗ ἐλεήμων Θεὸς ἡμῶν. Ἐλθέτω ἡ δύναμίς σου ἐπ᾽ ἐμὲ τὸν ἀχρεῖον δοῦλόν σου, ϗ ἐνισχυσάτω με τῷ Εὐαγγελίῳ τῆς θείας διδασκαλίας σου, καὶ δέσποτα φιλάνθρωπε, φιλάγαθε, ϗ φιλεύσπλαγχνε, φώτισόν μου τὰ σπλάγχνα, ϗ πάντα τὰ μέλη τῷ σῷ θελήματι



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

καθάρισόν με ἀπὸ πάσης κακίας καὶ ἁμαρτίας, συντήρησόν με ἄσπιλον καὶ ἀμώμητον ἀπὸ πάσης ἐπηρείας καὶ ἐνεργείας τοῦ διαβόλου, καὶ χάρισαί μοι κατὰ τὴν σὴν χρηστότητα τὰ σὰ νοεῖν, τὰ σὰ φρονεῖν, καὶ ἐν τοῖς θελήμασιν ἀναστρέφεσθαι, τὸν σὸν φόβον φοβεῖσθαι· τοῦ ποιεῖν τὰ σοὶ εὐάρεστα μέχρι τῆς ἐσχάτης μου ἀναπνοῆς. Ὅπως κατὰ τὸ ἀνεκδιήγητόν σου ἔλεος συντηρήσῃς μου τὸ σῶμα καὶ τὴν ψυχήν· τὸν νοῦν τε καὶ τὴν διάνοιαν ἀνεπηρέαστον πάσης τῆς τοῦ ἀντικειμένου παγίδος νοὸν, Κύριέ μου, Κύριε σκέπασόν με τῇ σῇ εὐσπλαγχνίᾳ, μὴ ἐγκαταλίπῃς τὸν ἁμαρτωλὸν καὶ ἀκάθαρτον, καὶ ἀνάξιον δοῦλόν σου. Ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου Κύριε, καὶ ἐν σοὶ ἡ ὕμνησίς μου διὰ παντὸς, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑΘΙΣΜΑ ΔΕΚΑΤΟΝ ΤΡΙΤΟΝ.

Ψαλμὸς ᾠδῆς, εἰς τὴν ἡμέραν τοῦ Σαββάτου. ϟα΄. 91.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, ϗ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε.

Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, ϗ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἐν δεκαχόρδῳ ψαλτηρίῳ, μετ᾿ ᾠδῆς ἐν κιθάρᾳ.

Ὅτι εὔφρανάς με Κύριε ἐν τῷ ποιήματί σου, ϗ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου.

Ἀνὴρ ἄφρων οὐ γνώσεται, ϗ ἀσύνετος οὐ συνήσει ταῦτα.

Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον, ϗ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα Κύριε.

Ὅτι ἰδοὺ οἱ ἐχθροί σου Κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται, ϗ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου, ϗ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι.

Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, ϗ ἐν τοῖς ἐπανισταμένοις ἐπ᾿ ἐμὲ πονηρευομένοις, ἀκούσεται τὸ οὖς μου.

Δί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίȣ, ἐν ταῖς αὐλαῖς τȣ̃ Θεȣ̃ ἡμῶν ἐξανθήσȣσιν.

Ἔτι πληθυνθήσονται ἐν γήρει πίονι, ϗ εὐπαθȣ̃ντες ἔσονται τȣ̃ ἀναγγεῖλαι.

Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, ϗ ȣ̓κ ἔςιν ἀδικία ἐν αὐτῷ.

Εἰς τὴν ἡμέραν τȣ̃ προσαββάτȣ, ὅτε κατῴκισο ἡ γῆ, αἶνος ᾠδῆς τῷ Δαβίδ. ϞΒʹ. 92.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ἐνεδύσατο Κύριος δύναμιν, ϗ περιεζώσατο.

Καὶ γὰρ ἐςερέωσε τὴν Οἰκȣμένην, ἥτις ȣ̓ σαλευθήσεται.

Ἕτοιμος ὁ θρόνος σȣ ἀπὸ τότε, ἀπὸ τȣ̃ αἰῶνος σὺ εἶ.

Ἐπῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν.

Ἀρȣ̃σιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν.

Θαυμαςοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαςὸς ἐν ὑψηλοῖς ὁ Κύριος.

Τὰ μαρτύριά σȣ ἐπιςώθησαν σφόδρα. Τῷ οἴκῳ σȣ πρέπει ἁγίασμα Κύριε, εἰς μακρότητα ἡμερῶν.

Ψαλμὸς τῷ Δαβίδ, τετράδι σαββάτȣ. ϞΓ 93.

Θεὸς ἐκδικήσεων Κύριος, Θεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο.

Ὑψώθητι ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.

Ἕως πότε ἁμαρτωλοὶ Κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται;

Φθέγξονται ϗ λαλήσȣσιν ἀδικίαν, λαλήσȣσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Τὸν λαόν σȣ Κύριε ἐταπείνωσαν, ϗ τὴν κληρονομίαν σȣ ἐκάκωσαν.

Χήραν, ϗ ὀρφανὸν ἀπέκτειναν, ϗ προσήλυτον ἐφόνευσαν.

Καὶ εἶπον· ȣ̓κ ὄψεται Κύριος, ȣ̓δὲ συνήσει ὁ Θεὸς τȣ̃ Ἰακώβ.

Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ, ϗ μωροί ποτε φρονήσατε.

Ὁ φυτεύσας τὸ ȣ̃ς, ȣ̓χὶ ἀκȣ́ει; ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν, ȣ̓χὶ κατανοεῖ;



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὁ παιδεύων ἔθνη, οὐχὶ ἐλέγξει; ὁ διδάσκων ἄνθρωπον γνῶσιν;

Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι.

Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς Κύριε, ϗ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν.

Τοῦ πραΰναι αὐτὸν ἀφ᾽ ἡμερῶν πονηρῶν, ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος.

Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, ϗ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει.

Ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν, ϗ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένοις; ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοῖς ἐργαζομένοις τὴν ἀνομίαν;

Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι, παραβραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου.

Εἰ ἔλεγον, σεσάλευται ὁ πούς μου, τὸ ἔλεός σου Κύριε ἐβοήθει μοι.

Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου.

Μὴ συμπροσέσω σοι θρόνος ἀνομίας, ὁ πλάσσων κόπον ἐπὶ πρόσταγμα.

Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, ϗ αἷμα ἀθῷον καταδικάσονται.

Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγήν, ϗ ὁ Θεός μου εἰς βοηθὸν ἐλπίδος μου.

Καὶ ἀποδώσει αὐτοῖς Κύριος τὴν ἀνομίαν αὐτῶν, ϗ κατὰ τὴν πονηρίαν αὐτῶν ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεός.

Δόξα, ϗ νῦν· ἀλληλούϊα.

Αἶνος ᾠδῆς τῷ Δαβίδ, ἀνεπίγραφος παρ᾽ Ἑβραίοις. ϞΔ΄

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.

Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, ϗ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ.

Ὅτι Θεὸς μέγας Κύριος, ϗ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, ϗ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν.

Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, ϗ αὐτὸς ἐποίησεν αὐτήν, ϗ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.



Δημόσια Βιβλιοθήκη Μηλεών

Δεῦτε προσκυνήσωμεν, ϗ προσπέσωμεν αὐτῷ, ϗ κλαύσωμεν ἐναντίον Κυρίȣ τȣ̃ ποιήσαντος ἡμᾶς.

Ὅτι αὐτός ἐϛιν ὁ Θεὸς ἡμῶν, ϗ ἡμεῖς λαὸς νομῆς αὐτȣ̃, ϗ πρόβατα χειρὸς αὐτȣ̃.

Σήμερον ἐὰν τῆς φωνῆς αὐτȣ̃ ἀκȣ́σητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.

Ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τȣ̃ πειρασμȣ̃ ἐν τῇ ἐρήμῳ.

Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν. Ἐδοκίμασάν με, ϗ εἶδον τὰ ἔργα μȣ.

Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, ϗ εἶπα, ἀεὶ πλανῶνται τῇ καρδίᾳ.

Αὐτοὶ δὲ ȣ̓κ ἔγνωσαν τὰς ὁδȣ́ς μȣ. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μȣ, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μȣ.

Αἶνος ᾠδῆς τῷ Δαβὶδ, ὅτε ὁ οἶκος ᾠκοδόμητο μετὰ τὴν αἰχμαλωσίαν. ἀνεπίγραφος παρ' Ἑβραίοις. ϟέ. 95.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ἄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτȣ̃. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, τὸ σωτήριον αὐτȣ̃.

Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτȣ̃, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτȣ̃.

Ὅτι μέγας Κύριος, ϗ αἰνετὸς σφόδρα, φοβερός ἐϛιν ὑπὲρ πάντας τȣ̀ς Θεȣ́ς.

Ὅτι πάντες οἱ Θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ δὲ Κύριος τȣ̀ς ȣ̓ρανȣ̀ς ἐποίησεν.

Ἐξομολόγησις ϗ ὡραιότης ἐνώπιον αὐτȣ̃. Ἁγιωσύνη ϗ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτȣ̃.

Ἐνέγκατε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν Ἐθνῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν ϗ τιμήν. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτȣ̃.

Ἄρατε θυσίας, ϗ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτȣ̃. Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτȣ̃.

Σαλευθήτω ἀπὸ προσώπȣ αὐτȣ̃ πᾶσα ἡ γῆ. Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε.

Καὶ

Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ γὰρ κατώρθωσε τὴν Οἰκεμένην, ἥτις ἐ σαλευθήσεται. κρινεῖ λαὲς ἐν εὐθύτητι.

Εὐφραινέσθωσαν οἱ Οὐρανοὶ, ἠ ἀγαλλιάσθω ἡ γῆ, σαλευθήτω ἡ θάλασσα, ἠ τὸ πλήρωμα αὐτῆς. Χαρήσεται τὰ πεδία, ἠ πάντα τὰ ἐν αὐτοῖς.

Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τῦ δρυμῦ, ἀπὸ προσώπε Κυρίε, ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν.

Κρινεῖ τὴν Οἰκεμένην ἐν δικαιοσύνῃ, ἠ λαὲς ἐν τῇ ἀληθείᾳ αὐτῦ.

Ψαλμὸς τῷ Δαβὶδ, ὅτε ἡ γῆ αὐτῷ καθίςατο.
ἀνεπίγραφος παρ' Ἑβραίοις, ϟϛ'. 96.

Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί.

Νεφέλη ἠ γνόφος κύκλῳ αὐτῦ, δικαιοσύνη ἠ κρίμα κατόρθωσις τῦ θρόνε αὐτῦ.

Πῦρ ἐνώπιον αὐτῦ προπορεύσεται, ἠ φλογιεῖ κύκλῳ τὲς ἐχθρὲς αὐτῦ.

Ἔφαναν αἱ ἀςραπαὶ αὐτῦ τῇ Οἰκεμένῃ. Εἶδε ἠ ἐσαλεύθη ἡ γῆ.

Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπε Κυρίε, ἀπὸ προσώπε Κυρίε πάσης τῆς γῆς.

Ἀνήγγειλαν οἱ ἐρανοὶ τὴν δικαιοσύνην αὐτῦ, ἠ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτῦ.

Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν.

Προσκυνήσατε αὐτῷ πάντες ἄγγελοι αὐτῦ. Ἤκεσε ἠ εὐφράνθη ἡ Σιών.

Καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰεδαίας, ἕνεκεν τῶν κριμάτων σε Κύριε.

Ὅτι σὺ Κύριος ὕψιςος ἐπὶ πᾶσαν τὴν γῆν, σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τὲς Θεές.

Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρά. Φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτῦ. Ἐκ χειρὸς ἁμαρτωλῦ ῥύσεται αὐτές.

Φῶς ἀνέτειλε τῷ δικαίῳ, ἠ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.

Εὐφράνθητε δίκαιοι ἐν τῷ Κυρίῳ, ἠ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτῦ.

Δόξα, καὶ νῦν. Ἀλληλεΐα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ψαλμὸς τῷ Δαβίδ. ϟζ΄. 97.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαςὰ ἐποίησεν ὁ Κύριος.
Ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτȣ̃, ϗ ὁ βραχίων ὁ ἅγιος αὐτȣ̃.
Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτȣ̃, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτȣ̃.
Ἐμνήσθη τȣ̃ ἐλέȣς αὐτȣ̃ τῷ Ἰακὼβ, ϗ τῆς ἀληθείας αὐτȣ̃ τῷ οἴκῳ Ἰσραήλ.
Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τȣ̃ Θεȣ̃ ἡμῶν.
Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, ᾄσατε, ϗ ἀγαλλιᾶσθε, ϗ ψάλατε.
Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ ϗ φωνῇ ψαλμȣ̃, ἐν σάλπιγξιν ἐλαταῖς, ϗ φωνῇ σάλπιγγος κερατίνης.
Ἀλαλάξατε ἐνώπιον τȣ̃ Βασιλέως Κυρίȣ. Σαλευθήτω ἡ θάλασσα ϗ τὸ πλήρωμα αὐτῆς, ἡ Οἰκȣμένη, ϗ πάντες οἱ κατοικȣ̃ντες ἐν αὐτῇ.
Ποταμοὶ κροτήσȣσι χειρὶ ἐπὶ τὸ αὐτό. Τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπȣ Κυρίȣ, ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν.
Κρινεῖ τὴν Οἰκȣμένην ἐν δικαιοσύνῃ, ϗ λαȣ̀ς ἐν εὐθύτητι.

Ψαλμὸς τῷ Δαβίδ. ϟη΄. 98.

Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί. Ὁ καθήμενος ἐπὶ τῶν Χερȣβὶμ, σαλευθήτω ἡ γῆ.
Κύριος ἐν Σιὼν μέγας, ϗ ὑψηλός ἐςιν ἐπὶ πάντας τȣ̀ς λαȣ́ς.
Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σȣ τῷ μεγάλῳ, ὅτι φοβερὸν, ϗ ἅγιόν ἐςι, ϗ τιμὴ Βασιλέως κρίσιν ἀγαπᾷ.
Σὺ ἡτοίμασας εὐθύτητας, κρίσιν ϗ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας.
Ὑψȣ̃τε Κύριον τὸν Θεὸν ἡμῶν, ϗ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτȣ̃, ὅτι ἅγιός ἐςι.
Μωϋσῆς ϗ Ἀαρὼν ἐν τοῖς Ἱερεῦσιν αὐτȣ̃, ϗ Σαμȣὴλ ἐν τοῖς ἐπικαλȣμένοις τὸ ὄνομα αὐτȣ̃.
Ἐπεκαλȣ̃ντο τὸν Κύριον, ϗ αὐτὸς ἐπήκȣεν αὐτῶν· ἐν ςύλῳ νεφέλης ἐλάλει πρὸς αὐτȣ́ς.
Ὅτι ἐφύλασσον τὰ μαρτύρια αὐτȣ̃, ϗ τὰ προςάγματα αὐτȣ̃, ἃ ἔδωκεν αὐτοῖς.

Κύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κύριε ὁ Θεὸς ἡμῶν σὺ ἐπήκουες αὐτῶν. Ὁ Θεὸς σὺ εὐΐλατος ἐγίνȣ αὐτοῖς, ϗ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν.
Ὑψȣ̃τε Κύριον τὸν Θεὸν ἡμῶν, ϗ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτȣ̃, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Ψαλμὸς τῷ Δαβίδ, εἰς ἐξομολόγησιν. ϙθ΄. 99

Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ. Δȣλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ.
Εἰσέλθετε ἐνώπιον αὐτȣ̃ ἐν ἀγαλλιάσει. Γνῶτε, ὅτι Κύριος αὐτός ἐςιν ὁ Θεὸς ἡμῶν. αὐτὸς ἐποίησεν ἡμᾶς, ϗ ȣ̓χ ἡμεῖς.
Ἡμεῖς δὲ λαὸς αὐτȣ̃, ϗ πρόβατα νομῆς αὐτȣ̃. Εἰσέλθετε εἰς τὰς πύλας αὐτȣ̃ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτȣ̃ ἐν ὕμνοις, ἐξομολογεῖσθε αὐτῷ.
Αἰνεῖτε τὸ ὄνομα αὐτȣ̃, ὅτι χρηςὸς Κύριος. Εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ̃, ϗ ἕως γενεᾶς ϗ γενεᾶς ἡ ἀλήθεια αὐτȣ̃.

Ψαλμὸς τῷ Δαβίδ. ρ΄. 100.

Ἔλεον ϗ κρίσιν ᾄσομαί σοι Κύριε.
Ψαλῶ ϗ συνήσω ἐν ὁδῷ ἀμώμῳ πότε ἥξεις πρός με;
Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μȣ, ἐν μέσῳ τȣ̃ οἴκȣ μȣ.
Οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μȣ πρᾶγμα παράνομον. Ποιȣ̃ντας παραβάσεις ἐμίσησα.
Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. Ἐκκλίνοντος ἀπ' ἐμȣ̃ τȣ̃ πονηρȣ̃, ȣ̓κ ἐγίνωσκον.
Τὸν καταλαλȣ̃ντα λάθρα τὸν πλησίον αὐτȣ̃, τȣ̃τον ἐξεδίωκον.
Ὑπερηφάνῳ ὀφθαλμῷ, ϗ ἀπλήςῳ καρδίᾳ, τȣ́τῳ ȣ̓ συνήσθιον.
Οἱ ὀφθαλμοί μȣ ἐπὶ τȣ̀ς πιςȣ̀ς τῆς γῆς, τȣ̃ συγκαθῆσθαι αὐτȣ̀ς μετ' ἐμȣ̃. Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, ȣ̂τός μοι ἐλειτȣ́ργει.
Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μȣ ποιῶν ὑπερηφανίαν, λαλῶν ἄδικα, ȣ̓ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μȣ.
Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τȣ̀ς ἁμαρτωλȣ̀ς τῆς γῆς, τȣ̃ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίȣ πάντας τȣ̀ς ἐργαζομένȣς τὴν ἀνομίαν.

Τὸ

Δημόσια Βιβλιοθήκη Μηλεών

Τὸ Τρισάγιον, εἶτα τὰ Τροπάρια. ἦχος πλ. δ.

Ὄμματι εὐσπλάγχνῳ Κύριε ἴδε τὴν ἐμὴν ταπείνωσιν, ὅτι κατὰ μικρὸν ἡ ζωή μȣ δαπανᾶται, ϗ ἐξ ἔργων ἐμοὶ ȣ̓χ ὑπάρχει σωτηρία. διὰ τȣ̃το δέομαι, ὄμματι εὐσπλάγχνῳ Κύριε ἴδε τὴν ἐμὴν ταπείνωσιν, ϗ σῶσόν με. Δόξα.

Ὡς τȣ̃ κριτȣ̃ παρόντος μερίμνησον ψυχὴ φρικτῆς ἡμέρας τὴν ὥραν ἐννοȣ̃σα. ἡ γὰρ κρίσις ἀνήλεος ἐςὶν τοῖς μὴ πράξασιν ἔλεος. βόησον ἐν Χριςῷ τῷ Θεῷ, καρδιογνῶςα ἥμαρτον· πρὶν καταδικάσῃς με, ἐλέησόν με. Καὶ νῦν.

Τῆς φοβερᾶς σȣ ϗ φρικτῆς ϗ ἀδεκάςȣ κρίσεως Χριςὲ εἰς νȣ̃ν λαμβάνων τὴν ἡμέραν ϗ ὥραν τρέμω κακȣ̃ργος, αἰχύνης ἔργα ϗ πράξεις ἔχων δεινὰς, ἃς μόνος ἐγὼ διεπραξάμην ἐπιμελῶς. ὅθεν φόβῳ προσπίπτω σοι ἀναβοῶν ὀδυνηρῶς. πρεσβείαις τῆς τεκȣ́σης σε πολυέλεε σῶσόν με.

Τὸ Κύριε ἐλέησον μ' ϗ ἡ εὐχή.

Κύριε ἅγιε ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τῷ παντεφόρῳ σȣ ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς ϗ τȣ̃ σώματος, ϗ σȣ̃ δεόμεθα ἅγιε ἁγίων, ἔκτεινον τὴν χεῖρά σȣ τὴν ἀόρατον ἐξ ἁγίȣ κατοικητηρίȣ σȣ, ϗ εὐλόγησον πάντας ἡμᾶς. ϗ εἴτι σοὶ ἡμάρτομεν ἑκȣσίως, ἢ ἀκȣσίως, ὡς ἀγαθὸς ϗ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρȣ́μενος ἡμῖν ϗ τὰ ἐγκόσμια ἀγαθά σȣ. Σὸν γὰρ ἐςὶν τὸ ἐλεεῖν, ϗ σώζειν, Χριςὲ ὁ Θεὸς ἡμῶν, ϗ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ ΔΕ'ΚΑΤΟΝ ΤΕ'ΤΑΡΤΟΝ.

*Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ, καὶ ἐναντίον Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ. Ψαλμός. ρά.* 101.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. Ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου.

Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.

Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.

Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.

Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.

Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος.

Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον.

Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.

Ἀπὸ προσώπου τῆς ὀργῆς σου, καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέρραξάς με.

Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.

Σὺ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Σὺ δὲ Κύριε εἰς τὸν αἰῶνα μένεις, ϗ τὸ μνημόσυνόν σȣ εἰς γενεὰν, ϗ γενεάν.

Σὺ ἀνας὾ς οἰκτειρήσεις τὴν Σιὼν, ὅτι καιρὸς τȣ͂ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός.

Ὅτι εὐδόκησαν οἱ δȣ͂λοί σȣ τȣ̀ς λίθȣς αὐτῆς, ϗ τὸν χȣ͂ν αὐτῆς οἰκτειρήσȣσι.

Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα Κυρίȣ, ϗ πάντες οἱ Βασιλεῖς τῆς γῆς τὴν δόξαν σȣ.

Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιὼν, ϗ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτȣ͂.

Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, ϗ ȣ̓κ ἐξȣδένωσε τὴν δέησιν αὐτῶν.

Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, ϗ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.

Ὅτι ἐξέκυψεν ἐξ ἁγίȣ αὐτȣ͂. Κύριος ἐξ ȣ̓ρανȣ͂ ἐπὶ τὴν γῆν ἐπέβλεψε.

Τȣ͂ ἀκȣ͂σαι τȣ͂ ςεναγμȣ͂ τῶν πεπεδημένων, τȣ͂ λῦσαι τȣ̀ς Υἱȣ̀ς τῶν τεθανατωμένων.

Τȣ͂ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίȣ, ϗ τὴν αἴνεσιν αὐτȣ͂ ἐν Ἱερȣσαλήμ.

Ἐν τῷ ἐπισυναχθῆναι λαȣ̀ς ἐπὶ τὸ αὐτὸ, ϗ Βασιλεῖς τȣ͂ δȣλεύειν τῷ Κυρίῳ.

Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτȣ͂, τὴν ὀλιγότητα τῶν ἡμερῶν μȣ ἀνάγγειλόν μοι.

Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μȣ, ἐν γενεᾷ γενεῶν τὰ ἔτη σȣ.

Κατ᾽ ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας, ϗ ἔργα τῶν χειρῶν σȣ εἰσὶν οἱ ȣ̓ρανοί.

Αὐτοὶ ἀπολȣ͂νται, σὺ δὲ διαμένεις. Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται.

Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτȣ̀ς, ϗ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ, ϗ τὰ ἔτη σȣ ȣ̓κ ἐκλείψȣσιν.

Οἱ Υἱοὶ τῶν δȣ́λων σȣ κατασκηνώσȣσι, ϗ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

## Ψαλμὸς τῷ Δαβίδ. ρβ΄. 102.

Εὐλόγει ἡ ψυχή μȣ τὸν Κύριον, ϗ πάντα τὰ ἐντός μȣ τὸ ὄνομα τὸ ἅγιον αὐτȣ͂.

Εὐ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς Υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων, καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος, καὶ πολυέλεος.

Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ Οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.

Καθὼς οἰκτείρει πατὴρ Υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν. ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμέν.

Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ Υἱοῖς Υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ Οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ Βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.



Δημόσια Βιβλιοθήκη Μηλεών

Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτȣ͂, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτȣ͂. εὐλόγει ἡ ψυχή μȣ τὸν Κύριον.

Δόξα, ϗ νῦν· ἀλληλοΐα.

Ψαλμὸς τῷ Δαβὶδ, ὑπὲρ τῆς τȣ͂ Κόσμȣ συςάσεως. ργ΄. 103.

Εὐλόγει ἡ ψυχή μȣ τὸν Κύριον· Κύριε ὁ Θεός μȣ ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν, ϗ μεγαλοπρέπειαν ἐνεδύσω. Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὴν Οὐρανὸν ὡσεὶ δέῤῥιν. Ὁ ςεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτȣ͂.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτȣ͂, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τȣ̀ς Ἀγγέλȣς αὐτȣ͂ πνεύματα, ϗ τȣ̀ς λειτȣργȣ̀ς αὐτȣ͂, πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, ȣ̓ κλιθήσεται εἰς τὸν αἰῶνα τȣ͂ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτȣ͂, ἐπὶ τῶν ὀρέων ςήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σȣ φεύξονται, ἀπὸ φωνῆς βροντῆς σȣ δειλιάσȣσιν.

Ἀναβαίνȣσιν ὄρη, ϗ καταβαίνȣσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθȣ, ὃ ȣ̓ παρελεύσονται, ȣ̓δὲ ἐπιςρέψȣσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποςέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιȣ͂σι πάντα τὰ θηρία τȣ͂ ἀγρȣ͂, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τȣ͂ Οὐρανȣ͂ κατασκηνώσει, ἐκ μέσȣ τῶν πετρῶν δώσȣσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτȣ͂, ἀπὸ καρπȣ͂ τῶν ἔργων σȣ χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, ϗ χλόην τῇ δȣλείᾳ τῶν ἀνθρώπων.

Τȣ͂ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, ϗ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπȣ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις. Πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς. Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος καὶ ἐγένετο νύξ. ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας.

Ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος.

Ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῶα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. δόντος σου αὐτοῖς, συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος.

Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. Ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, ϗ ἄνομοι, ὥςε μὴ ὑπάρχειν αὐτές.
Εὐλόγει ἡ ψυχή με τὸν Κύριον.

Δόξα, καὶ νῦν· Ἀλληλέϊα.

Ἀλληλέϊα, Ψαλμός. ρδʹ 104.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ϗ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτῦ. Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτῦ.
Ἄσατε αὐτῷ, ϗ ψάλατε αὐτῷ. Διηγήσασθε πάντα τὰ θαυμάσια αὐτῦ.
Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτῦ. Εὐφρανθήτω καρδία ζητέντων τὸν Κύριον.
Ζητήσατε τὸν Κύριον, ϗ κραταιώθητε. ζητήσατε τὸ πρόσωπον αὐτῦ διαπαντός.
Μνήσθητε τῶν θαυμασίων αὐτῦ, ὧν ἐποίησε, τὰ τέρατα αὐτῦ, ϗ τὰ κρίματα τῦ ςόματος αὐτῦ.
Σπέρμα Ἀβραὰμ δῦλοι αὐτῦ, Υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτῦ.
Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτῦ.
Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτῦ, λόγε ῦ ἐνετείλατο εἰς χιλίας γενεάς.
Ὃν διέθετο τῷ Ἀβραὰμ, ϗ τῦ ὅρκε αὐτῦ τῷ Ἰσαάκ.
Καὶ ἔςησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόςαγμα, ϗ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον.
Λέγων, σοὶ δώσω τὴν γῆν Χαναὰν, σχοίνισμα κληρονομίας ὑμῶν.
Ἐν τῷ εἶναι αὐτὲς ἀριθμῷ βραχεῖς, ὀλιγοςὲς, ϗ παροίκες ἐν αὐτῇ.
Καὶ διῆλθεν ἐξ ἔθνες εἰς ἔθνος, ϗ ἐκ Βασιλείας εἰς λαὸν ἕτερον.
Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτὲς, ϗ ἤλεγξεν ὑπὲρ αὐτῶν Βασιλεῖς.
Μὴ ἅπτεσθε τῶν χριςῶν με, ϗ ἐν τοῖς Προφήταις με μὴ πονηρεύεσθε.
Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, πᾶν ςήριγμα ἄρτε συνέτριψεν.
Ἀπέςειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς δῦλον ἐπράθη Ἰωσήφ.
Ἐταπείνωσαν ἐν πέδαις τὲς πόδας αὐτῦ. σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτῦ.
Μέχρι τῦ ἐλθεῖν τὸν λόγον αὐτῦ, τὸ λόγιον Κυρίε ἐπύρωσεν αὐτόν.
Ἀπέςειλε Βασιλεὺς, ϗ ἔλυσεν αὐτὸν, ἄρχων λαῦ, ϗ ἀφῆκεν αὐτόν.

Κα-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κατέςησεν αὐτὸν Κύριον τοῦ οἴκου αὐτοῦ, ϗ ἄρχοντα πάσης τῆς κτίσεως αὐτοῦ.

Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτὸν, ϗ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.

Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, ϗ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ.

Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα, ϗ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.

Μετέςρεψε τὴν καρδίαν αὐτοῦ, τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ. τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.

Ἐξαπέςειλε Μωϋσῆν τὸν δοῦλον αὐτοῦ. Ἀαρὼν, ὃν ἐξελέξατο ἑαυτῷ.

Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ, ϗ τῶν τεράτων αὐτοῦ ἐν γῇ Χάμ.

Ἐξαπέςειλε σκότος, ϗ ἐσκότασεν, ὅτι παρεπίκραναν τοὺς λόγους αὐτοῦ.

Μετέςρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, ϗ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν.

Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους, ἐν τοῖς ταμείοις τῶν βασιλείων αὐτῶν.

Εἶπε ϗ ἦλθε κυνόμυια, ϗ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.

Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν.

Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν, ϗ τὰς συκὰς αὐτῶν, ϗ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν.

Εἶπε, ϗ ἦλθεν ἀκρὶς, ϗ βροῦχος, οὗ οὐκ ἦν ἀριθμός.

Καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν, ϗ κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς αὐτῶν.

Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν, ἀπαρχὴν παντὸς πόνου αὐτῶν.

Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ ϗ χρυσίῳ, ϗ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν.

Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν, ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς.

Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, ϗ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα.

Ἤτησαν ϗ ἦλθεν ὀρτυγομήτρα, ϗ ἄρτον Οὐρανοῦ ἐνέπλησεν αὐτούς.

Διέ-

Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Διέῤῥηξε πέτραν, ϗ ἐῤῥύησαν ὕδατα, ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.

Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ.

Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, ϗ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ.

Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, ϗ πόνους λαῶν κατεκληρονόμησαν.

Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, ϗ τὸν νόμον αὐτοῦ ἐκζητήσωσι.

Δόξα, ϗ νῦν, Ἀλληλούϊα.

Τὸ Τρισάγιον, εἶτα τὰ Τροπάρια. ἦχος πλ. δ.

Ὡς ἡ πόρνη σοι προσπίπτω, ἵνα λάβω τὴν ἔφεσιν, ϗ ἀντὶ μύρου προσφέρω ἐκ καρδίας τὰ δάκρυα, ἵνα ὡς ἐκείνην οἰκτείρῃς με Σωτὴρ, ϗ παράσχῃ ἱλασμὸν ἁμαρτιῶν, ὡς αὐτὴ γὰρ κραυγάζω σοι, λύτρωσαί με τοῦ βορβόρου τῶν ἔργων μου.

Δόξα.

Τί οὐκ ἐνθυμῇ ψυχή μου τὸν θάνατον. τί οὐκ ἐπιστρέφεις λοιπὸν πρὸς διόρθωσιν πρὸ τοῦ σάλπιγξ ἠχήσει ἐν τῇ κρίσει. πότε οὐκ ἔστι καιρὸς μετανοίας. λάβε κατὰ νοῦν τὸν Τελώνην ϗ τὴν Πόρνην κράζοντας, ἥμαρτόν σοι Κύριε ἐλέησόν με.

Καὶ νῦν.

Ὡς ὑπερβάλλουσαν ἀληθῶς τῇ κυήσει σου τὰς δυνάμεις Οὐρανῶν ἀειπάρθενε Θεοτόκε, οἱ διὰ σοῦ Θεότητα πλουτήσαντες ἀπαύστως σὲ μεγαλύνομεν.

Τὸ Κύριε ἐλέησον μ΄ ϗ ἡ εὐχή.

Εὐχαριστοῦμεν σοι Κύριε ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν ὅτι πάντα ποιεῖς εἰς εὐεργεσίαν τῆς ζωῆς ἡμῶν. ὅτι διανέπαυσας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, ϗ ἔστησας ἡμᾶς εἰς προσκύνησιν τοῦ τιμίου ϗ ἐνδόξου ὀνόματός σου Κύριε, δὸς ἡμῖν χάριν ϗ δύναμιν, ἵνα καταξιωθῶμεν ψάλλειν σοι συνετῶς, ϗ προσεύχεσθαι ἀδιαλήπτως ϗ διὰ παντὸς πρὸς σὲ ἀποβλέπομεν τὸν σωτῆρα ϗ εὐεργέτην τῶν ἡμετέρων ψυχῶν, ἐν

φό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

φόβῳ ϗ τρόμῳ τὴν ἑαυτῶν σωτηρίαν ἐργαζόμενοι· ἐπάκουσον οὖν ϗ ἐλέησον εὔσπλαγχνε ἡμᾶς· σύντριψον ὑπὸ τοὺς πόδας ἡμῶν τοὺς ἀοράτους ϗ πολεμίους ἐχθρούς· Πρόσδεξαι τὰς κατὰ δύναμιν ἡμῶν εὐχαριστείας· δὸς ἡμῖν χάριν ϗ δύναμιν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, ϗ δίδαξον ἡμᾶς τὰ δικαιώματά σου· ὅτι τὶ προσευξόμεθα καθ᾽ ὃ δεῖ οὐκ οἴδαμεν, ἐὰν μὴ σὺ Κύριε τῷ Πνεύματί σου τῷ ἁγίῳ ὁδηγήσας ἡμᾶς. Εἴτι δὲ ἡμάρτομεν ἄχρι τῆς παρούσης ὥρας ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν ἑκουσίως, ἢ ἀκουσίως, ἄνες, ἄφες, συγχώρησον. Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς Κύριε, Κύριε τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ὁ ἱλασμός ἐστι, παρὰ σοῦ ἡ ἀπολύτρωσις. Σὺ εἶ μόνος ἅγιος βοηθός, κραταιὸς ϗ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, ϗ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας, Ἀμήν.

ΚΑ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ ΔΕ'ΚΑΤΟΝ ΠΕ'ΜΠΤΟΝ.

Α'λληλȣΐα, Ψαλμός. ρέ. 105.

Ε'ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηςὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ.

Τίς λαλήσει τὰς δυναςείας τȣ Κυρίȣ, ἀκȣςὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτȣ;

Μακάριοι οἱ φυλάσσοντες κρίσιν, ϗ ποιȣντες δικαιοσύνην ἐν παντὶ καιρῷ.

Μνήσθητι ἡμῶν Κύριε ἐν τῇ εὐδοκίᾳ τȣ λαȣ σȣ, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σȣ.

Τȣ ἰδεῖν ἐν τῇ χρηςότητι τῶν ἐκλεκτῶν σȣ, τȣ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τȣ ἔθνȣς σȣ, τȣ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σȣ.

Ἡμάρτομεν μετὰ τῶν Πατέρων ἡμῶν, ἠνομήσαμεν, ἠδικήσαμεν.

Οἱ Πατέρες ἡμῶν ἐν Αἰγύπτῳ ȣ συνῆκαν τὰ θαυμάσιά σȣ, ϗ ȣκ ἐμνήσθησαν τȣ πλήθȣς τȣ ἐλέȣς σȣ.

Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ.

Καὶ ἔσωσεν αὐτȣς ἕνεκεν τȣ ὀνόματος αὐτȣ, τοῦ γνωρίσαι τὴν δυναςείαν αὐτοῦ.

Καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ, ϗ ἐξηράνθη. Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ, ὡς ἐν ἐρήμῳ.

Καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισοῦντος, ϗ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν.

Ε'κά-

Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς, εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη.

Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, ϗ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ.

Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ.

Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, ϗ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ.

Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν. ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν.

Καὶ παρώργισαν τὸν Μωϋσῆν ἐν τῇ παρεμβολῇ, τὸν Ἀαρὼν, τὸν ἅγιον Κυρίου.

Ἠνοίχθη ἡ γῆ, ϗ κατέπιε Δαθὰν, ϗ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών.

Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, φλὸξ κατέφλεξεν ἁμαρτωλούς.

Καὶ ἐποίησαν μόσχον ἐν Χωρὴβ, ϗ προσεκύνησαν τῷ γλυπτῷ.

Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον.

Καὶ ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σώζοντος αὐτοὺς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ, θαυμάσια ἐν γῇ Χὰμ, φοβερὰ ἐπὶ θαλάσσης Ἐρυθρᾶς.

Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτοὺς, εἰμὴ Μωϋσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ.

Τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς.

Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν. Οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, ϗ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν. Οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου.

Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτοὺς, τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ.

Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι, ϗ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις.

Καὶ ἐτελέσθησαν τῷ Βεελφεγὼρ, ϗ ἔφαγον θυσίας νεκρῶν.

Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν, ϗ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις.

Καὶ ἔστη Φινεὲς, ϗ ἐξιλάσατο, ϗ ἐκόπασεν ἡ θραῦσις.

Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, εἰς γενεὰν ϗ γενεὰν ἕως τοῦ αἰῶνος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας, ϗ ἐκακώθη Μωϋσῆς δι᾽ αὐτές. Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ.

Καὶ διέςειλεν ἐν τοῖς χείλεσιν αὐτȣ. Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη, ἃ εἶπε Κύριος αὐτοῖς.

Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, ϗ ἔμαθον τὰ ἔργα αὐτῶν, ϗ ἐδέλευσαν τοῖς γλυπτοῖς αὐτῶν, ϗ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον.

Καὶ ἔθυσαν τὲς Υἱὲς αὐτῶν, ϗ τὰς θυγατέρας αὐτῶν τοῖς Δαιμονίοις.

Καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα Υἱῶν αὐτῶν ϗ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν.

Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι, ϗ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν.

Καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτȣ, ϗ ἐβδελύξατο τὴν κληρονομίαν αὐτȣ.

Καὶ παρέδωκεν αὐτὲς εἰς χεῖρας ἐχθρῶν, ϗ ἐκυρίευσαν αὐτῶν οἱ μισȣντες αὐτές.

Καὶ ἔθλιψαν αὐτὲς οἱ ἐχθροὶ αὐτῶν, ϗ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν.

Πλεονάκις ἐρρύσατο αὐτὲς, αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βελῇ αὐτῶν, ϗ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν.

Καὶ εἶδε Κύριος ἐν τῷ θλίβεσθαι αὐτὲς ἐν τῷ αὐτὸν εἰσακȣσαι τῆς δεήσεως αὐτῶν.

Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτȣ, ϗ μετεμελήθη κατὰ τὸ πλῆθος τȣ ἐλέȣς αὐτȣ.

Καὶ ἔδωκεν αὐτὲς εἰς οἰκτιρμὲς, ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτές.

Σῶσον ἡμᾶς Κύριε ὁ Θεὸς ἡμῶν, ϗ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν.

Τȣ ἐξομολογήσασθαι τῷ ὀνόματί σȣ τῷ ἁγίῳ, τȣ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σȣ.

Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τȣ αἰῶνος, ϗ ἕως τȣ αἰῶνος· ϗ ἐρεῖ πᾶς ὁ λαὸς, γένοιτο, γένοιτο.

Δὶ ξ αἰ, καινν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀλληλούϊα, Ψαλμὸς. ρϛ'. 106.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηςὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ̃.
Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίȣ, ȣ̃ς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθρȣ̃, ϗ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτȣ́ς.
Ἀπὸ Ἀνατολῶν, ϗ Δυσμῶν, ϗ Βοῤῥᾶ, ϗ θαλάσσης.
Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ. Ὁδὸν πόλεως κατοικητηρίȣ ȣ̓χ εὗρον.
Πεινῶντες, ϗ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπε.
Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτȣ̀ς, ϗ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐῤῥύσατο αὐτȣ́ς.
Καὶ ὡδήγησεν αὐτȣ̀ς εἰς ὁδὸν εὐθεῖαν, τȣ̃ πορευθῆναι εἰς πόλιν κατοικητηρίȣ·
Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αυτȣ̃, ϗ τὰ θαυμάσια αὐτȣ̃ τοῖς Υἱοῖς τῶν ἀνθρώπων.
Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, ϗ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.
Καθημένȣς ἐν σκότει σκιᾷ θανάτȣ, πεπεδημένȣς ἐν πτωχείᾳ ϗ σιδήρῳ.
Ὅτι παρεπίκραναν τὰ λόγια τȣ̃ Θεȣ̃, ϗ τὴν βȣλὴν τȣ̃ Ὑψίςȣ παρώξυναν.
Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν, ἠσθένησαν, ϗ ȣ̓κ ἦν ὁ βοηθῶν.
Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτȣ̀ς, ϗ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτȣ́ς.
Καὶ ἐξήγαγεν αὐτȣ̀ς ἐκ σκότȣς, ϗ σκιᾶς θανάτȣ, ϗ τȣ̀ς δεσμȣ̀ς αὐτῶν διέῤῥηξεν.
Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτȣ̃, ϗ τὰ θαυμάσια αὐτȣ̃ τοῖς Υἱοῖς τῶν ἀνθρώπων.
Ὅτι συνέτριψε πύλας χαλκᾶς, ϗ μοχλȣ̀ς σιδηρȣ̃ς συνέθλασεν.
Ἀντελάβετο αὐτῶν ἐξ ὁδȣ̃ ἀνομίας αὐτῶν, διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν.
Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, ϗ ἤγγισαν ἕως τῶν πυλῶν τȣ̃ θανάτȣ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, ϗ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

Ἀπέστειλε τὸν λόγον αὐτοῦ, ϗ ἰάσατο αὐτοὺς, ϗ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, ϗ τὰ θαυμάσια αὐτοῦ τοῖς Υἱοῖς τῶν ἀνθρώπων.

Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, ϗ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.

Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς.

Αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου, ϗ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ.

Εἶπε, ϗ ἔστη πνεῦμα καταιγίδος, ϗ ὑψώθη τὰ κύματα αὐτῆς.

Ἀναβαίνουσιν ἕως τῶν Οὐρανῶν, ϗ καταβαίνουσιν ἕως τῶν ἀβύσσων. Ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο.

Ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων, ϗ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη.

Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, ϗ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς.

Καὶ ἐπέταξε τῇ καταιγίδι, ϗ ἔστη εἰς αὔραν, ἐσίγησαν τὰ κύματα αὐτῆς.

Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν, ϗ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτοῦ.

Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, ϗ τὰ θαυμάσια αὐτοῦ τοῖς Υἱοῖς τῶν ἀνθρώπων.

Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, ϗ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.

Ἔθετο ποταμοὺς εἰς ἔρημον, ϗ διεξόδους ὑδάτων εἰς δίψαν.

Γῆν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.

Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, ϗ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων.

Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, ϗ συνεστήσαντο πόλεις κατοικεσίας.

Καὶ ἔσπειραν ἀγροὺς, ϗ ἐφύτευσαν ἀμπελῶνας, ϗ ἐποίησαν καρπὸν γενήματος.

Καὶ εὐλόγησεν αὐτοὺς, ϗ ἐπληθύνθησαν σφόδρα, ϗ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε.

Καὶ ὀλιγώθησαν, ϗ ἐκακώθησαν ἀπὸ θλίψεως, κακῶν, ϗ ὀδύνης.

Ἐξε-

Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν, ϗ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ, ϗ ἐχ ὁδῷ.
Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας, ϗ ἔθετο ὡς πρόβατα πατριάς.
Ὄψονται εὐθεῖς ϗ εὐφρανθήσονται, ϗ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς.
Τίς σοφὸς ϗ φυλάξει ταῦτα, ϗ συνήσουσι τὰ ἐλέη τοῦ Κυρίου;

Δόξα, καὶ νῦν· Ἀλληλούϊα.

Ὠδὴ Ψαλμοῦ τῷ Δαβίδ. ρζ'. 107.

Ἑτοίμη ἡ καρδία μου ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι ϗ ψαλῶ ἐν τῇ δόξῃ μου.
Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον ϗ κιθάρα. ἐξεγερθήσομαι ὄρθρου.
Ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν.
Ὅτι μέγα ἐπάνω τῶν Οὐρανῶν τὸ ἔλεός σου, ϗ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
Ὑψώθητι ἐπὶ τοὺς Οὐρανοὺς ὁ Θεὸς, ϗ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου, ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου.
Σῶσον τῇ δεξιᾷ σου, ϗ ἐπάκουσόν μου. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ.
Ὑψωθήσομαι, διαμεριῶ Σίκιμα, ϗ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.
Ἐμός ἐστι Γαλαάδ, ϗ ἐμός ἐστι Μανασσῆς, ϗ Ἐφραὶμ ἀντίληψις τῆς κεφαλῆς μου.
Ἰούδας Βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου.
Ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ Ἀλλόφυλοι ὑπετάγησαν.
Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;
Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; ϗ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν.
Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, ϗ ματαία σωτηρία ἀνθρώπου.
Ἐν τῷ Θεῷ ποιήσωμεν δύναμιν, ϗ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εἰς τὸ τέλος.

Ψαλμὸς τῷ Δαβίδ. ρή. 108.

Ο Θεὸς τὴν αἴνεσίν μȣ μὴ παρασιωπήσῃς, ὅτι σόμα ἁμαρτωλȣ̃, ϗ σόμα δολίȣ ἐπ᾽ ἐμὲ ἠνοίχθη.

Ἐλάλησαν κατ᾽ ἐμȣ̃ γλώσσῃ δολίᾳ, ϗ λόγοις μίσȣς ἐκύκλωσάν με, ϗ ἐπολέμησάν με δωρεάν.

Ἀντὶ τȣ̃ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην.

Καὶ ἔθεντο κατ᾽ ἐμȣ̃ κακὰ ἀντὶ ἀγαθῶν, ϗ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μȣ.

Κατάςησον ἐπ᾽ αὐτὸν ἁμαρτωλὸν, ϗ διάβολος ςήτω ἐκ δεξιῶν αὐτȣ̃.

Ἐν τῷ κρίνεσθαι αὐτὸν, ἐξέλθοι καταδεδικασμένος, ϗ ἡ προσευχὴ αὐτȣ̃ γενέσθω εἰς ἁμαρτίαν.

Γενηθήτωσαν αἱ ἡμέραι αὐτȣ̃ ὀλίγαι, ϗ τὴν ἐπισκοπὴν αὐτȣ̃ λάβοι ἕτερος.

Γενηθήτωσαν οἱ υἱοὶ αὐτȣ̃ ὀρφανοὶ, ϗ ἡ γυνὴ αὐτȣ̃ χήρα.

Σαλευόμενοι μεταναςήτωσαν οἱ Υἱοὶ αὐτȣ̃, ϗ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.

Ἐξερευνησάτω δανειςὴς πάντα, ὅσα ὑπάρχει αὐτῷ, ϗ διαρπασάτωσαν ἀλλότριοι τȣ̀ς πόνȣς αὐτȣ̃.

Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτȣ̃.

Γενηθήτω τὰ τέκνα αὐτȣ̃ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτȣ̃.

Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτȣ̃ ἔναντι Κυρίȣ, ϗ ἡ ἁμαρτία τῆς μητρὸς αὐτȣ̃ μὴ ἐξαλειφθείη.

Γενηθήτωσαν ἐναντίον Κυρίȣ διαπαντὸς, ϗ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ἀνθ᾽ ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος, ϗ κατεδίωξεν ἄνθρωπον πένητα ϗ πτωχὸν, ϗ κατανενυγμένον τῇ καρδίᾳ τȣ̃ θανατῶσαι.

Καὶ ἠγάπησε κατάραν, ϗ ἥξει αὐτῷ, ϗ οὐκ ἠθέλησεν εὐλογίαν, ϗ μακρυνθήσεται ἀπ᾽ αὐτȣ̃.

Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, ϗ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτȣ̃, ϗ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀςέοις αὐτȣ̃.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη, ἣν διαπαντὸς περιζώννυται.

Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου, καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.

Καὶ σὺ Κύριε, Κύριε ποίησον μετ' ἐμοῦ, ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου.

Ρῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγὼ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.

Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες

Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου, ἠλλοιώθη δι' ἔλαιον.

Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς, εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.

Βοήθησόν μοι Κύριε ὁ Θεός μου, σῶσόν με κατὰ τὸ ἔλεός σου.

Καὶ γνώτωσαν, ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ Κύριε ἐποίησας αὐτήν.

Καταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις. Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.

Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν.

Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν.

Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

Δόξα, καὶ νῦν Ἀλληλούϊα.

Τὸ Τρισάγιον, καὶ τὰ Τροπάρια. ἦχος ά.

Ὅτι τὸ πέλαγος πολὺ τῶν παραπτωμάτων μου Σωτήρ· καὶ δεινῶς βεβύθισμαι ταῖς πλημμελείαις μου, δός μοι χεῖρα, σῶσόν με, ὡς τῷ Πέτρῳ ὁ Θεὸς ἐλέησόν με. Δόξα.

Ὅτι ἐννοίαις πονηραῖς καὶ ἔργοις καταδεδίκασμαι Σωτὴρ, λογισμόν μοι δώρησαι ἐπιστροφῆς ὁ Θεὸς, ἵνα κράζω σῶσόν με, εὐεργέτα ἀγαθὲ, καὶ ἐλέησον. Καὶ νῦν.

Θεομακάριστε κόρη καὶ παναμώμητε, ἐσπιλωμένον ὄντα καὶ βεβορβορωμένον ἐκ πράξεων ἀτόπων καὶ ῥυπαρῶν λογισμῶν· κάθαρόν με τὸν δείλαιον ἄχραντε, καὶ σεμνὴ Παναγία Μητροπάρθενε.

Δημόσια Βιβλιοθήκη Μηλεών

Τὸ Κύριε ἐλέησον μ΄ καὶ ἡ εὐχή.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ· σὺ εἶ βοηθός μου, ἐν ταῖς χερσί σου εἰμὶ ἐγὼ βοήθησόν μοι, μὴ ἐάσῃς με ἁμαρτῆσαι εἰς σέ, ὅτι πεπλανημένος εἰμί. μὴ ἐάσῃς με ἐξακολουθῆσαι τῷ θελήματι τῆς σαρκός μου. μὴ ὑπερίδῃς με Κύριε, ὅτι ἀσθενὴς εἰμί, σὺ γινώσκεις τὸ συμφέρον μοι, μὴ ἐάσῃς με ἀπολέσθαι ταῖς ἁμαρτίαις μου. μὴ ἐγκαταλίπῃς με Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ ὅτι πρὸς σὲ κατέφυγον. δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, ὅτι ἐνώπιόν σου εἰσὶ πάντες οἱ θλίβοντές με, καὶ οὐκ ἔστι μοι ἄλλη καταφυγή, εἰμὴ σὺ Κύριε. Αἰσχυνθήτωσαν οὖν πάντες οἱ ἐπανιστάμενοί μου, οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξολοθρεῦσαι αὐτήν. Ὅτι σὺ εἶ μόνος δυνατὸς Κύριε ἐν πᾶσι, καὶ σοῦ ἐστὶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ ΔΕ'ΚΑΤΟΝ Ε'ΚΤΟΝ.

Ψαλμὸς τῷ Δαβίδ. ρθ'. 109.

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιὼν, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.

Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου. ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.

Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται. Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Κύριος ἐκ δεξιῶν σου, συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ Βασιλεῖς.

Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.

Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν.

Ἀλληλούϊα, Ψαλμὸς. ρι'. 110.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων, καὶ συναγωγῇ.

Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.

Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτȣ̃. Ἐλεήμων, ϗ οἰκτίρμων ὁ Κύριος, τροφὴν ἔδωκε τοῖς φοβεμένοις αὐτόν.

Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτȣ̃, ἰσχὺν ἔργων αὐτȣ̃ ἀνήγγειλε τῷ λαῷ αὐτȣ̃.

Τȣ̃ δȣ̃ναι αὐτοῖς κληρονομίαν ἐθνῶν· ἔργα χειρῶν αὐτȣ̃, ἀλήθεια, ϗ κρίσις.

Πιςαὶ πᾶσαι αἱ ἐντολαὶ αὐτȣ̃, ἐςηριγμέναι εἰς τὸν αἰῶνα τȣ̃ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ ϗ εὐθύτητι.

Λύτρωσιν ἀπέςειλε τῷ λαῷ αὐτȣ̃, ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτȣ̃. Ἅγιον, ϗ φοβερὸν τὸ ὄνομα αὐτȣ̃.

Ἀρχὴ σοφίας, φόβος Κυρίȣ.

Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιȣ̃σιν αὐτήν. Ἡ αἴνεσις αὐτȣ̃ μένει εἰς τὸν αἰῶνα τȣ̃ αἰῶνος.

## Ἀλληλȣΐα, Ψαλμὸς. ριά. 111.

Μακάριος ἀνὴρ ὁ φοβȣ̃μενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτȣ̃ θελήσει σφόδρα.

Δυνατὸν ἐν τῇ γῇ ἔςαι τὸ σπέρμα αὐτȣ̃, γενεὰ εὐθέων εὐλογηθήσεται.

Δόξα ϗ πλȣ̃τος ἐν τῷ οἴκῳ αὐτȣ̃, ϗ ἡ δικαιοσύνη αὐτȣ̃ μένει εἰς τὸν αἰῶνα τȣ̃ αἰῶνος.

Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν, ἐλεήμων ϗ οἰκτίρμων, ϗ δίκαιος.

Χρηςὸς ἀνὴρ ὁ οἰκτείρων ϗ κιχρῶν, οἰκονομήσει τȣ̀ς λόγȣς αὐτȣ̃ ἐν κρίσει. ὅτι εἰς τὸν αἰῶνα ȣ̓ σαλευθήσεται.

Εἰς μνημόσυνον αἰώνιον ἔςαι δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς ȣ̓ φοβηθήσεται.

Ἑτοίμη ἡ καρδία αὐτȣ̃ ἐλπίζειν ἐπὶ Κύριον, ἐςήρικται ἡ καρδία αὐτȣ̃, ȣ̓ μὴ φοβηθῇ, ἕως ȣ̃ ἐπίδῃ ἐπὶ τȣ̀ς ἐχθρȣ̀ς αὐτȣ̃.

Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτȣ̃ μένει εἰς τὸν αἰῶνα τȣ̃ αἰῶνος.

Τὸ κέρας αὐτȣ̃ ὑψωθήσεται ἐν δόξῃ. Ἁμαρτωλὸς ὄψεται, ϗ ὀργισθήσεται.

Τȣ̀ς ὀδόντας αὐτȣ̃ βρύξει, ϗ τακήσεται, ἐπιθυμία ἁμαρτωλȣ̃ ἀπολεῖται.

Δόξα; ϗ νῦν· Ἀλληλȣΐα:



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀλληλούϊα, Ψαλμός. ριβ΄. 112.

Αἰνεῖτε παῖδες Κύριον, αἰνεῖτε τὸ ὄνομα Κυρίου.
Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.
Ἀπὸ ἀνατολῶν Ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομα Κυρίου.
Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.
Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ;
Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα.
Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ.
Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.

Ἀλληλούϊα. Ψαλμὸς ριγ΄. 113.

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου.
Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ.
Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.
Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.
Τί σοι ἐστὶ θάλασσα ὅτι ἔφυγες, καὶ σὺ Ἰορδάνη ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;
Τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων;
Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ.
Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.
Μὴ ἡμῖν Κύριε, μὴ ἡμῖν, ἀλλ᾽ ἢ τῷ ὀνόματί σου δὸς δόξαν, ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου,
Μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησε.
Τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.
Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται.
Ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται· ῥίνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται.
Χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι. πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν. Οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν.
Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς.
Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς ϗ ὑπερασπιςὴς αὐτῶν ἐςιν.
Οἱ φοβέμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον, βοηθὸς ϗ ὑπερασπιςὴς αὐτῶν ἐςιν.
Κύριος μνηαθεὶς ἡμῶν, εὐλόγησεν ἡμᾶς.
Εὐλόγησε τὸν οἶκον Ἰσραὴλ, εὐλόγησε τὸν οἶκον Ἀαρών.
Εὐλόγησε τὲς φοβεμένες τὸν Κύριον, τὲς μικρὲς μετὰ τῶν μεγάλων.
Προσθείη Κύριος ἐφ᾽ ὑμᾶς, ἐφ᾽ ὑμᾶς ϗ ἐπὶ τὲς Υἱὲς ὑμῶν.
Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, τῷ ποιήσαντι τὸν ἐρανὸν ϗ τὴν γῆν.
Ὁ ἐρανὸς τῦ ἐρανῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς Υἱοῖς τῶν ἀνθρώπων.
Οὐχ οἱ νεκροὶ αἰνέσεσί σε Κύριε, ἐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδε.
Ἀλλ᾽ ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον, ἀπὸ τῦ νῦν, ϗ ἕως τῦ αἰῶνος.

Ἀλληλέϊα. Ψαλμὸς ριδ. 114.

Ἠγάπησα, ὅτι εἰσακέσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς με.
Ὅτι ἔκλινε τὸ ἒς αὐτῦ ἐμοὶ, ϗ ἐν ταῖς ἡμέραις με ἐπικαλέσομαι.
Περιέσχον με ὠδῖνες θανάτε, κίνδυνοι ᾅδε εὕροσάν με.
Θλῖψιν ϗ ὀδύνην εὗρον, ϗ τὸ ὄνομα Κυρίε ἐπεκαλεσάμην.
Ὦ Κύριε ῥῦσαι τὴν ψυχήν με. Ἐλεήμων ὁ Κύριος ϗ δίκαιος, ϗ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.
Φυλάσσων τὰ νήπια ὁ Κύριος· ἐταπεινώθην, ϗ ἔσωσέ με.
Ἐπίςρεψον ψυχή με εἰς τὴν ἀνάπαυσίν σε, ὅτι Κύριος εὐηργέτησέ σε.
Ὅτι ἐξείλετο τὴν ψυχήν με ἐκ θανάτε, τὲς ὀφθαλμές με, ἀπὸ δακρύων, ϗ τὲς πόδας με ἀπὸ ὀλισθήματος.
Εὐαρεςήσω ἐνώπιον Κυρίε ἐν χώρᾳ ζώντων.

Δόξα, ϗ νῦν, Ἀλληλέϊα.

Ἀλληλέϊα· Ψαλμὸς ριε. 115.

Ἐπίςευσα, διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.
Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκςάσει με, πᾶς ἄνθρωπος ψεύςης.
Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;
Ποτήριον σωτηρίε λήψομαι, ϗ τὸ ὄνομα Κυρίε ἐπικαλέσομαι.
Τὰς εὐχάς με τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τῦ Λαῦ αὐτῦ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Τίμιος ἐναντίον Κυρίε ὁ θάνατος τῶν ὁσίων αὐτε.
Ὦ Κύριε ἐγὼ δελος σὸς, ἐγὼ δελος σὸς, ϗ Υἱὸς τῆς παιδίσκης σε, διέῤῥηξας τὲς δεσμές με.
Σοὶ θύσω θυσίαν αἰνέσεως, ϗ ἐν ὀνόματι Κυρίε ἐπικαλέσομαι.
Τὰς εὐχάς με τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τε λαε αὐτε, ἐν αὐλαῖς οἴκε Κυρίε, ἐν μέσῳ σε Ἱερεσαλήμ.

Ἀλληλέϊα, Ψαλμός. ριϛ'. 116.

Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.
Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτε ἐφ' ἡμᾶς, ϗ ἡ ἀλήθεια τε Κυρίε μένει εἰς τὸν αἰῶνα.

Ἀλληλέϊα, Ψαλμός. ριζ'. 117.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.
Εἰπάτω δὴ οἶκος Ἰσραὴλ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.
Εἰπάτω δὴ οἶκος Ἀαρὼν, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.
Εἰπάτωσαν δὴ πάντες οἱ φοβέμενοι τὸν Κύριον, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.
Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, ϗ ἐπήκεσέ με εἰς πλατυσμόν.
Κύριος ἐμοὶ βοηθὸς, ϗ ε φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος.
Κύριος ἐμοὶ βοηθὸς, κἀγὼ ἐπόψομαι τὲς ἐχθρές με.
Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον.
Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχεσι.
Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, ϗ τῷ ὀνόματι Κυρίε ἠμυνάμην αὐτές.
Κυκλώσαντες ἐκύκλωσάν με, ϗ τῷ ὀνόματι Κυρίε ἠμυνάμην αὐτές.
Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, ϗ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, ϗ τῷ ὀνόματι Κυρίε ἠμυνάμην αὐτές.
Ὠσθεὶς ἀνετράπην τε πεσεῖν, ϗ ὁ Κύριος ἀντελάβετό με.
Ἰσχύς με ϗ ὕμνησίς με ὁ Κύριος, ϗ ἐγένετό μοι εἰς σωτηρίαν.
Φωνὴ ἀγαλλιάσεως ϗ σωτηρίας ἐν σκηναῖς δικαίων.

Δε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Δεξιὰ Κυρίȣ ἐποίησε δύναμιν. Δεξιὰ Κυρίȣ ὕψωσέ με. Δεξιὰ Κυρίȣ ἐποίησε δύναμιν.

Οὐκ ἀποθανȣ͂μαι, ἀλλὰ ζήσομαι, ϗ διηγήσομαι τὰ ἔργα Κυρίȣ.

Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, ϗ τῷ θανάτῳ ȣ̓ παρέδωκέ με.

Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ.

Αὕτη ἡ πύλη τȣ͂ Κυρίȣ, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.

Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκȣσάς με, ϗ ἐγένȣ μοι εἰς σωτηρίαν.

Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομȣ͂ντες, ȣ̔͂τος ἐγενήθη εἰς κεφαλὴν γωνίας.

Παρὰ Κυρίȣ ἐγένετο αὕτη, ϗ ἔςι θαυμαςὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα ϗ εὐφρανθῶμεν ἐν αὐτῇ.

Ὦ Κύριε σῶσον δὴ, ὦ Κύριε εὐόδωσον δή.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίȣ.

Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκȣ Κυρίȣ. Θεὸς Κύριος, ϗ ἐπέφανεν ἡμῖν.

Συςήσασθε ἑορτὴν ἐν τοῖς πυκάζȣσιν, ἕως τῶν κεράτων τȣ͂ Θυσιαςηρίȣ.

Θεός μȣ εἶ σὺ, ϗ ἐξομολογήσομαί σοι, Θεός μȣ εἶ σὺ, ϗ ὑψώσω σε.

Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκȣσάς με, ϗ ἐγένȣ μοι εἰς σωτηρίαν.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Δόξα, καὶ νῦν· Ἀλληλȣΐα.

### Τὸ Τρισάγιον, ϗ τὰ Τροπάρια. Ἦχος α΄.

Ἄλλος σε κόσμος ψυχὴ ἀναμένει, ϗ κριτὴς τὰ σὰ μέλλων δημοσιεύειν κρυπτὰ ϗ δεινὰ, μὴ ἐν ἐμμείνῃς τοῖς ὧδε, ἀλλὰ πρόφθασον βοῶσα τῷ κριτῇ, ὁ Θεὸς ἱλάσθητί μοι, ϗ σῶσόν με.

Δόξα.

Ὅτι πταίσματα πολλὰ περίκειμαι σωτὴρ, ϗ πληγαῖς ἀμέτροις πλημμελῶν, δέομαί σȣ εὔσπλαγχνε Χριςὲ, ἰατρὲ τῶν νοσȣ́ντων, ἐπίσκεψαι, θεράπευσον, ϗ σῶσόν με.

Καὶ νῦν.

Ψυχή μȣ τί ἀμελῶς κατάκεισαι ῥαθυμȣ͂σα; τί ȣ̓ φροντίζεις τῶν κακῶν, ὧν ἔπραξας ἐν βίῳ; σπεῦσον διορθωθεῖναι, πρὶν τὴν θύραν

κλήσει

Δημόσια Βιβλιοθήκη Μηλεών

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

κλήσει σοι ὁ Κύριος τῇ Θεοτόκῳ δράμε πρόσπεσον, ϗ βόησον, ἐλπὶς ἀπηλπισμένων, σῶσον με τὸν πολλά σοι πταίσαντα, δέσποινα πανάχραντε.

### Τὸ Κύριε ἐλέησον μ' ϗ ἡ εὐχή.

Κύριε ἅγιε ὁ ἐν ὑψηλοῖς κατοικῶν, ϗ τῷ παντεφόρῳ σȣ ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς ϗ τȣ̃ σώματος, ϗ σȣ̃ δεόμεθα ἅγιε ἁγίων, ἔκτεινον τὴν χεῖρα σȣ τὴν ἀόρατον ἐξ ἁγίȣ κατοικητηρίȣ σȣ, ϗ συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκȣ́σιόν τε ϗ ἀκȣ́σιον· ἐν λόγῳ ἢ ἐν ἔργῳ, δώρησαι ἡμῖν Κύριε κατάνυξιν· δώρησαι δάκρυα πνευματικὰ ἐκ ψυχῆς εἰς ἐξιλέωσιν τῶν πολλῶν ἡμῶν ἁμαρτιῶν· δώρησαι τὸ μέγα σȣ ἔλεος ἐπὶ τὸν κόσμον σȣ, ϗ ἐφ' ἡμᾶς τȣ̀ς ἀναξίȣς δȣ́λȣς σȣ, ὅτι εὐλογημένον ϗ δεδοξασμένον ὑπάρχει τὸ ὄνομα σȣ̃ τȣ̃ Πατρὸς, ϗ τȣ̃ Υἱȣ̃ ϗ τȣ̃ ἁγίȣ Πνεύματος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑΘΙΣΜΑ ΔΕΚΑΤΟΝ ΕΒΔΟΜΟΝ.

Ἀλληλούια, Ψαλμὸς ριη΄. 118.

Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.

Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.

Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

Σὺ ἐνετείλω τὰς ἐντολάς σου, τοῦ φυλάξασθαι σφόδρα.

Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.

Ἐν ταῖς ἐντολαῖς σου ἀδολεχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου.

Ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐν τοῖς δικαιώμασίσε μελετήσω, ἐκ ἐπιλήσομαι τῶν λόγων σε.
Ἀνταπόδος τῷ δέλῳ σε, ζῆσόν με, ἢ φυλάξω τὲς λόγες σε.
Ἀποκάλυψον τὲς ὀφθαλμές με, ἢ κατανοήσω τὰ θαυμάσια ἐκ τε νόμε σε.
Πάροικος ἐγώ ἐιμι ἐν τῇ γῇ, μὴ ἀποκρύψης ἀπ' ἐμε τὰς ἐντολάς σε.
Ἐπεπόθησεν ἡ ψυχή με, τε ἐπιθυμῆσαι τὰ κρίματά σε ἐν παντὶ καιρῷ.
Ἐπετίμησας ὑπερηφάνοις. Ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σε.
Περίελε ἀπ' ἐμε ὄνειδος, ἢ ἐξεδένωσιν, ὅτι τὰ μαρτύριά σε ἐξεζήτησα.
Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, ἢ κατ' ἐμε κατελάλεν, ὁ δὲ δελός σε ἠδολέχει ἐν τοῖς δικαιώμασί σε.
Καὶ γὰρ τὰ μαρτύριά σε μελέτη με ἐςὶ, ἢ αἱ συμβελίαι με τὰ δικαιώματά σε.
Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή με, ζῆσόν με κατὰ τὸν λόγον σε.
Τὰς ὁδές με ἐξήγγειλα, ἢ ἐπήκεσάς με, δίδαξόν με τὰ δικαιώματά σε.
Ὁδὸν δικαιωμάτων σε συνέτισόν με, ἢ ἀδολεχήσω ἐν τοῖς θαυμασίοις σε.
Ἐνύςαξεν ἡ ψυχή με ἀπὸ ἀκηδίας, βεβαίωσόν με, ἐν τοῖς λόγοις σε.
Ὁδὸν ἀδικίας ἀπόςησον ἀπ' ἐμε, ἢ τῷ νόμῳ σε ἐλέησόν με.
Ὁδὸν ἀληθείας ᾑρετισάμην ἢ τὰ κρίματά σε ἐκ ἐπελαθόμην.
Ἐκολλήθην τοῖς μαρτυρίοις σε Κύριε, μή με καταιχύνης.
Ὁδὸν ἐντολῶν σε ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν με.
Νομοθέτησόν με Κύριε τὴν ὁδὸν τῶν δικαιωμάτων σε, ἢ ἐκζητήσω αὐτὴν διαπαντός.
Συνέτισόν με ἢ ἐξερευνήσω τὸν νόμον σε, ἢ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ με.
Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σε, ὅτι αὐτὴν ἠθέλησα.
Κλῖνον τὴν καρδίαν με εἰς τὰ μαρτύριά σε, ἢ μὴ εἰς πλεονεξίαν.
Ἀπόςρεψον τὲς ὀφθαλμές με τε μὴ ἰδεῖν ματαιότητα. Ἐν τῇ ὁδῷ σε ζῆσόν με.
Στῆσον τῷ δέλῳ σε τὸ λόγιόν σε ἐις τὸν φόβον σε.
Περίελε τὸν ὀνειδισμόν με, ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σε χρηςά.
Ἰδε ἐπεθύμησα τὰς ἐντολάς σε, ἐν τῇ δικαιοσύνῃ σε ζῆσόν με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου.

Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.

Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.

Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς εἰς τὸν αἰῶνα, ϗ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, ϗ οὐκ ᾐσχυνόμην.

Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα.

Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, ϗ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.

Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με.

Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με.

Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος Κύριε, ϗ παρεκλήθην.

Ἀθυμία κατέσχε με, ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.

Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου.

Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου Κύριε, ϗ ἐφύλαξα τὸν νόμον σου.

Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Μερίς μου εἶ Κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.

Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου. Ἐλέησόν με κατὰ τὸ λόγιόν σου.

Διελογισάμην τὰς ὁδούς σου, ϗ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.

Ἡτοιμάσθην ϗ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, ϗ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Μεσονύκτιον ἐξηγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, ϗ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

Τοῦ ἐλέους σου Κύριε πλήρης ἡ γῆ, τὰ δικαιώματά σου δίδαξόν με.

Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου Κύριε, κατὰ τὸν λόγον σου.

Χρηστότητα, ϗ παιδείαν, ϗ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.

Πρὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Πρὸ τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.
Χρηστὸς εἶ σὺ Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.
Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων. Ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.
Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.
Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.
Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου, ὑπὲρ χιλιάδας χρυσίου, καὶ ἀργυρίου.

Δόξα, καὶ νῦν· ἀλληλούϊα.

## ΣΤΑ'ΣΙΣ, β'.

Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με, συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.
Οἱ φοβούμενοί σε ὄψονταί με, καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.
Ἔγνων Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με.
Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.
Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μου ἐστίν.
Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ. Ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.
Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.
Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ.
Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.
Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες, πότε παρακαλέσεις με;
Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.



Δημόσια Βιβλιοθήκη Μηλεών

Πόσαι εἰσὶν αἱ ἡμέραι τȣ̃ δȣ́λȣ σȣ; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ᾽ ȣ̓χ ὡς ὁ νόμος σȣ Κύριε.

Πᾶσαι αἱ ἐντολαί σȣ ἀλήθεια. Ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.

Παραβραχὺ συνετέλεσάν με ἐν τῇ γῇ. ἐγὼ δὲ ȣ̓κ ἐγκατέλιπον τας ἐντολάς σȣ.

Κατὰ τὸ ἔλεός σȣ ζῆσόν με, ϗ φυλάξω τὰ μαρτύρια τȣ̃ ςόματός σȣ.

Εἰς τὸν αἰῶνα Κύριε ὁ λόγος σȣ διαμένει ἐν τῷ ȣ̓ρανῷ.

Εἰς γενεὰν, ϗ γενεὰν ἡ ἀλήθειά σȣ. Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει.

Τῇ διατάξει σȣ διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δȣ̃λα σά.

Εἰ μὴ ὅτι ὁ νόμος σȣ μελέτη μȣ ἐςὶ, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μȣ.

Εἰς τὸν αἰῶνα ȣ̓ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σȣ, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

## ΜΕΣΗ.

Σός εἰμι ἐγὼ, σῶσόν με, ὅτι τὰ δικαιώματά σȣ ἐξεζήτησα.

Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τȣ̃ ἀπολέσαι με, τὰ μαρτύριά σȣ συνῆκα.

Πάσης συντελείας εἶδον πέρας. πλατεῖα ἡ ἐντολή σȣ σφόδρα.

Ὡς ἠγάπησα τὸν νόμον σȣ Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μȣ ἐςίν.

Ὑπὲρ τȣ̀ς ἐχθρȣ́ς μȣ ἐσόφισάς με τὴν ἐντολήν σȣ, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐςιν.

Ὑπὲρ πάντας τȣ̀ς διδάσκοντάς με συνῆκα, τὰ μαρτύριά σȣ μελέτη μȣ ἐςίν,

Ὑπὲρ πρεσβυτέρȣς συνῆκα, ὅτι τὰς ἐντολάς σȣ ἐξεζήτησα.

Ἐκ πάσης ὁδȣ̃ πονηρᾶς ἐκώλυσα τȣ̀ς πόδας μȣ, ὅπως ἂν φυλάξω τȣ̀ς λόγȣς σȣ.

Ἀπὸ τῶν κριμάτων σȣ ȣ̓κ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Ὡς γλυκέα τῷ λάρυγγί μȣ τὰ λόγιά σȣ, ὑπὲρ μέλι τῷ ςόματί μȣ.

Ἀπὸ τῶν ἐντολῶν σȣ συνῆκα, διὰ τȣ̃το ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.

Λύχνος τοῖς ποσί μȣ ὁ Νόμος σȣ, ϗ φῶς ταῖς τρίβοις μȣ.

Ὤμοσα ϗ ἔςησα τȣ̃ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σȣ.

Ἐταπεινώθην ἕως σφόδρα Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σȣ.

Τὰ ἑκȣ́σια τȣ̃ ςόματός μȣ εὐδόκησον δὴ Κύριε, ϗ τὰ κρίματά σȣ δίδαξόν με.

Η

Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διὰ παντὸς, καὶ τοῦ Νόμου σου οὐκ ἐπελαθόμην.

Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

Ἐκληρονόμησα τὰ μαρτύριά σου ὡς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν.

Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι᾽ ἀντάμειψιν.

Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα.

Βοηθός μου, καὶ ἀντιλήπτωρ μου εἶ σὺ, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐκκλίνατε ἀπ᾽ ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με, μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.

Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός.

Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.

Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.

Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου, ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

Ἐποίησα κρίμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.

Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθὸν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον τῆς Δικαιοσύνης σου.

Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με.

Δοῦλός σου εἰμὶ ἐγὼ, συνέτισόν με καὶ γνώσομαι τὰ μαρτύριά σου.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου.

Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον, καὶ τοπάζιον.

Διά τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Θαυμαστὰ τὰ μαρτύριά σου· διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.

Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ νηπίους.

Τὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Τὸ ςόμα με ἤνοιξα, ϗ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σε ἐπεπόθεν.

Δόξα, ϗ νῦν, Ἀλληλέϊα.

ΣΤΑ'ΣΙΣ. γ'.

Ἐπίβλεψον ἐπ' ἐμὲ, ϗ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σε.
Τὰ διαβήματά με κατεύθυνον κατὰ τὸ λόγιόν σε, ϗ μὴ κατακυριευσάτω με πᾶσα ἀνομία.
Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, ϗ φυλάξω τὰς ἐντολάς σε.
Τὸ πρόσωπόν σε ἐπίφανον ἐπὶ τὸν δῆλον σε, ϗ δίδαξόν με τὰ δικαιώματά σε.
Διεξόδες ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί με, ἐπεὶ ἐκ ἐφύλαξα τὸν νόμον σε.
Δίκαιος εἶ Κύριε ϗ εὐθεῖς αἱ κρίσεις σε.
Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σε, ϗ ἀλήθειαν σφόδρα.
Ἐξέτηξέ με ὁ ζῆλός σε, ὅτι ἐπελάθοντο τῶν λόγων σε οἱ ἐχθροί με.
Πεπυρωμένον τὸ λόγιόν σε σφόδρα, ϗ ὁ δῆλός σε ἠγάπησεν αὐτό.
Νεώτερος ἐγώ εἰμι ϗ ἐξεδενωμένος, τὰ δικαιώματά σε ἐκ ἐπελαθόμην.
Ἡ δικαιοσύνη σε, δικαιοσύνη εἰς τὸν αἰῶνα, ϗ ὁ νόμος σε ἀλήθεια.
Θλίψεις ϗ ἀνάγκαι εὕροσάν με, αἱ ἐντολαί σε μελέτη με.
Δικαιοσύνη τὰ μαρτύριά σε εἰς τὸν αἰῶνα, συνέτισόν με, ϗ ζήσομαι.
Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ με, ἐπάκεσόν με Κύριε, τὰ δικαιώματά σε ἐκζητήσω.
Ἐκέκραξά σοι σῶσόν με, ϗ φυλάξω τὰ μαρτύριά σε.
Προέφθασα ἐν ἀωρίᾳ, ϗ ἐκέκραξα, εἰς τὲς λόγες σε ἐπήλπισα.
Προέφθασαν οἱ ὀφθαλμοί με πρὸς ὄρθρον τῦ μελετᾷν τὰ λόγιά σε.
Τῆς φωνῆς με ἄκεσον Κύριε κατὰ τὸ ἔλεός σε, ϗ κατὰ τὸ κρῖμά σε ζῆσόν με.
Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τῦ νόμε σε ἐμακρύνθησαν.
Ἐγγὺς εἶ σὺ Κύριε, ϗ πᾶσαι αἱ ὁδοί σε ἀλήθεια.
Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σε, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.


ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἴδε τὴν ταπείνωσίν με, ἢ ἐξελῦ με, ὅτι τῦ νόμε σε ἐκ ἐπελαθόμην.

Κρῖνον τὴν κρίσιν με, ἢ λύτρωσαί με, διὰ τὸν λόγον σε ζῆσόν με.

Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σε ἐκ ἐξεζήτησαν.

Οἱ οἰκτιρμοί σε πολλοὶ Κύριε, κατὰ τὸ κρῖμά σου ζῆσόν με.

Πολλοὶ οἱ ἐκδιώκοντές με ἢ θλίβοντές με· ἐκ τῶν μαρτυρίων σε ἐκ ἐξέκλινα.

Εἶδον ἀσυνετῦντας, ἢ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου ἐκ ἐφυλάξαντο.

Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα Κύριε, ἐν τῷ ἐλέει σε ζῆσόν με.

Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, ἢ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἄρχοντες κατεδίωξάν με δωρεὰν, ἢ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά.

Ἀδικίαν ἐμίσησα, ἢ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα.

Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σε.

Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, ἢ ἐκ ἔςιν αὐτοῖς σκάνδαλον.

Προσεδόκων τὸ σωτήριόν σου Κύριε, ἢ τὰς ἐντολάς σε ἠγάπησα.

Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σε, ἢ ἠγάπησεν αὐτὰ σφόδρα.

Ἐφύλαξα τὰς ἐντολάς σου, ἢ τὰ μαρτύριά σε, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου Κύριε.

Ἐγγισάτω ἡ δέησίς με ἐνώπιόν σου Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με.

Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σε Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

Ἐξερεύξαιντο τὰ χείλη με ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σε.

Φθέγξοιτο ἡ γλῶσσα μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σε δικαιοσύνη.

Γενέσθω ἡ χείρ σου τῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σε ᾑρετισάμην.

Ἐπεπόθησα τὸ σωτήριόν σε, Κύριε, ἢ ὁ νόμος σε μελέτη με ἐςί.

Ζήσεται ἡ ψυχή με, ἢ αἰνέσει σε, ἢ τὰ κρίματά σε βοηθήσει μοι.

Ἐπλα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός. ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Δόξα, καὶ νῦν· Ἀλληλούϊα.

Τὸ Τρισάγιον, καὶ τὰ Τροπάρια. ἦχος β'.

Ἥμαρτον εἰς σὲ Σωτὴρ, ὡς ὁ ἄσωτος υἱός. δέξαι με πάτερ μετανοοῦντα, καὶ ἐλέησόν με ὁ Θεός. Δόξα.

Κράζω σοι Χριστὲ Σωτὴρ, τοῦ Τελώνου τὴν φωνήν· ἱλάσθητί μοι ὥσπερ ἐκείνῳ, καὶ ἐλέησόν με ὁ Θεός. Καὶ νῦν.

Θεοτόκε μὴ παρίδῃς με δεόμενον, ἀντίληψις τοῖς ὑπὸ σοῦ, ἐπὶ σοὶ γὰρ πέποιθεν ἡ ψυχή μου, ἐλέησόν με.

Τὸ Κύριε ἐλέησον μ' καὶ ἡ εὐχή.

Δέσποτα Κύριε Παντοκράτορ, καὶ ποιητὰ τοῦ παντὸς, ὁ τῶν οἰκτιρμῶν πατὴρ, καὶ τοῦ ἐλέους Θεὸς, ὁ ἐκ γῆς πλαστουργήσας τὸν ἄνθρωπον καὶ ἀναδείξας αὐτὸν κατ' εἰκόνα σὴν, καὶ ὁμοίωσιν, ἵνα καὶ δι' αὐτοῦ δοξάζηται τὸ μεγαλοπρεπὲς ὄνομά σου ἐπὶ τῆς γῆς, καὶ καταῤῥαγέντα οὖν τῇ παραβάσει τῶν σῶν ἐντολῶν πάλιν ἐπὶ τὸ κρεῖττον ἀναπλάσας τοῦτον ἐν τῷ Χριστῷ σου, καὶ ἀναβιβάσας εἰς οὐρανούς. Εὐχαριστῶ σοι ὅτι ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου, καὶ οὐ παρέδωκάς με τοῖς ἐχθροῖς μου εἰς τέλους κατασπάσαι με ζητοῦσιν εἰς ᾅδου βάραθρα, οὐ δὲ εἴασάς με, συναπολέσθαι ταῖς ἀνομίαις μου. Νῦν οὖν πολυέλεε καὶ φιλάγαθε Κύριε, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν ἐπιστροφὴν ἀναμένων, καὶ προσδεχόμενος, ὁ ἐγείρων τοὺς κατεῤῥαγμένους ἀνθρώπους, καὶ τοὺς συντετριμμένους ἰώμενος, ἐπίστρεψον κἀμὲ εἰς μετάνοιαν, καὶ κατεῤῥαγμένον ἀνόρθωσον, καὶ συντετριμμένον θεράπευσον, μνήσθητι τῶν σῶν οἰκτιρμῶν, καὶ τῆς ἀπ' αἰῶνός σου ἀκαταλήπτου χρηστότητος, καὶ τῶν ἀμετρήτων ἐπιλάθου ἀνομιῶν, ὧν ἐν ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ ἐκτέλεσα· λῦσον μου τὴν πώρωσιν τῆς καρδίας μου, καὶ δός μοι δάκρυα κατανύξεως εἰς κάθαρσιν τοῦ ῥύπου τῆς διανοίας μου. Εἰσάκουσον Κύριε, πρόσχες φιλάνθρωπε, ἱλάσθητι εὔσπλαγχνε, καὶ τῆς τυραννίδος τῶν ἐν ἐμοὶ βασιλευόντων παθῶν τὴν ἀθλίαν μου ψυχὴν ἐλευθέρωσον, καὶ μηκέτι μου κρατείτω ἡ ἁμαρτία, μηδὲ καταδυναστευέτω με ὁ πολέμιος δαίμων, μηδὲ πρὸς τὸ αὐτοῦ ὑπαγαγέτω με θέλημα, ἀλλὰ τῇ κραταιᾷ σου χειρὶ τῆς αὐτοῦ δεσποτείας ἁρπάσας με, σὺ βασίλευον ἐν ἐμοὶ ὁ ἀγαθὸς, καὶ φιλάνθρωπος Κύριος, καὶ ὅλον σὸν γενέσθαι καὶ ζῆν με τοῦ λοιποῦ. Κατὰ τὸ σὸν εὐδόκητον θέλημα, καὶ παράσχου μοι διὰ τῆς ἀφάτου χρηστότητος, καρδίας κάθαρσιν, στόματος φυλακὴν, εὐθύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

θύτητα πράξεων, φρόνημα ταπεινὸν, εἰρήνην λογισμῶν, τῶν ψυχικῶν μου δυνάμεων, χαρὰν πνευματικὴν, ἀγάπην ἀνόθευτον, μακροθυμίαν, χρηστότητα, ἐπιείκειαν, πίστιν ἀνυπόκριτον, καὶ τὴν περιεκτικωτάτην ἐγκράτειαν, καὶ πάντων με τῶν ἀγαθῶν καρπῶν πλήρωσον τῇ δωρεᾷ τοῦ ἁγίου σου Πνεύματος, καὶ μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, μηδὲ ἀδιόρθωτον καὶ ἀνέτοιμον τὴν ψυχὴν ἁρπάσῃς, ἀλλὰ τελείωσόν με τῇ τελειότητι, καὶ οὕτω με τοῦ παρόντος βίου ἐξάγαγε. ὡς ἂν ἀκωλύτως διαβὰς τὰς ἀρχὰς, καὶ ἐξουσίας τοῦ σκότους, διὰ τῆς σῆς χάριτος, κατοπτεύσω κἀγὼ τῆς ἀπροσίτου σου δόξης τὸ κάλλος τὸ ἄῤῥητον μετὰ πάντων τῶν ἁγίων σου, ἐν οἷς ἡγίασαι καὶ δεδόξασαι τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ



Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ'ΘΙΣΜΑ ΔΕ'ΚΑΤΟΝ Ο'ΓΔΟΟΝ.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ριθ'. 119.

Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, ϗ εἰσήκουσέ μȣ.
Κύριε ῥῦσαι τὴν ψυχήν μȣ ἀπὸ χειλέων ἀδίκων, ϗ ἀπὸ γλώσσης δολίας.
Τί δοθείη σοι, ϗ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;
Τὰ βέλη τȣ̃ δυνατȣ̃ ἠκονημένα, σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.
Οἴμοι, ὅτι ἡ παροικία μȣ ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ. πολλὰ παρῴκησεν ἡ ψυχή μȣ.
Μετὰ τῶν μισȣ́ντων τὴν εἰρήνην ἤμην εἰρηνικός. Ὅταν ἐλάλȣν αὐτοῖς ἐπολέμȣν με δωρεάν.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκ'. 120.

Ἦρα τȣ̀ς ὀφθαλμȣ́ς μȣ εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μȣ.
Ἡ βοήθειά μȣ παρὰ Κυρίȣ τȣ̃ ποιήσαντος τὸν ȣ̓ρανὸν, ϗ τὴν γῆν.
Μὴ δῴης εἰς σάλον τὸν πόδα σȣ, μὴ δὲ νυστάξῃ ὁ φυλάσσων σε.
Ἰδȣ̀ ȣ̓ νυστάξει, ȣ̓δὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.
Κύριος φυλάξοι σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σȣ.
Ἡμέρας ὁ ἥλιος ȣ̓ συγκαύσει σε, ȣ̓δὲ ἡ σελήνη τὴν νύκτα.
Κύριος φυλάξοι σε ἀπὸ παντὸς κακȣ̃, φυλάξοι τὴν ψυχήν σȣ ὁ Κύριος.

Κύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κύριος φυλάξοι τὴν εἴσοδόν σε, καὶ τὴν ἔξοδόν σε, ἀπὸ τῦ νῦν καὶ ἕως τῦ αἰῶνος.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκά. 121.

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον Κυρίε πορευσόμεθα.
Ἑςῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σε Ἱερεσαλήμ.
Ἱερεσαλὴμ οἰκοδομεμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.
Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ Κυρίε, μαρτύριον τῷ Ἰσραὴλ, τῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίε.
Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ.
Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερεσαλὴμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε.
Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σε, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σε.
Ἕνεκα τῶν ἀδελφῶν με, καὶ τῶν πλησίον με, ἐλάλεν δὴ εἰρήνην περὶ σε.
Ἕνεκα τῦ οἴκε Κυρίε τῦ Θεῦ ἡμῶν, ἐξεζήτησα ἀγαθά σοι.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκβ'. 122.

Πρὸς σὲ ἦρα τὲς ὀφθαλμές με, τὸν κατοικῦντα ἐν τῷ ἐρανῷ.
Ἰδὲ ὡς ὀφθαλμοὶ δέλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν.
Ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, ἕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως ὗ οἰκτειρήσαι ἡμᾶς.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξεδενώσεως.
Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τῆς εὐθηνῦσι, καὶ ἡ ἐξεδένωσις τοῖς ὑπερηφάνοις.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκγ'. 123.

Εἰμὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ. Εἰμὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν.
Ἐν τῷ ἐπαναςῆναι ἀνθρώπες ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς.
Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῦ ἐφ' ἡμᾶς. ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόςατον.

Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.

Ἡ ψυχὴ ἡμῶν ὡς ςρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων.

Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν.

Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν, καὶ τὴν γῆν.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκδ΄. 124.

Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών. Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ.

Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν.

Ἀγάθυνον Κύριε τοῖς ἀγαθοῖς, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ.

Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς ςραγγαλιὰς, ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν, εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκε΄. 125.

Ἐν τῷ ἐπιςρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι.

Τότε ἐπλήσθη χαρᾶς τὸ ςόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως.

Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν. ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ᾽ αὐτῶν.

Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ᾽ ἡμῶν. ἐγενήθημεν εὐφραινόμενοι.

Ἐπίςρεψον Κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ.

Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι.

Πορευόμενοι ἐπορεύοντο, καὶ ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν.

Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς. ρκϛ΄. 126.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.
Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Εἰς μάτην ὑμῖν ἐςὶ τὸ ὀρθρίζειν.
Ἐγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης.
Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. Ἰδοὺ ἡ κληρονομία Κυρίου Υἱοὶ, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαςρός.
Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ Υἱοὶ τῶν ἐκτετιναγμένων.
Μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν. Οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς. ρκζ΄. 127.

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.
Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι. Μακάριος εἶ, καὶ καλῶς σοι ἔςαι.
Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου.
Οἱ Υἱοί σου ὡς νεόφυτα ἐλαιῶν, κύκλῳ τῆς τραπέζης σου.
Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον.
Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.
Καὶ ἴδοις Υἱοὺς τῶν Υἱῶν σου, εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκη΄. 128.

Πλεονάκις ἐπολέμισάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ.
Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι.
Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοὶ, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν.
Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν. Αἰσχυνθήτωσαν, καὶ ἀποςραφήτωσαν εἰς τὰ ὀπίσω, πάντες οἱ μισοῦντες Σιών.
Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη.

Οὐ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων.
Καὶ οὐκ εἶπον οἱ παράγοντες, εὐλογία Κυρίου ἐφ' ὑμᾶς· εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

Δόξα, καὶ νῦν, Ἀλληλούϊα.

### Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμός. ρκθ'. 129.

Ἐκ βαθέων ἐκέκραξά σοι Κύριε, Κύριε εἰσάκουσον τῆς φωνῆς μου.
Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.
Ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε, Κύριε τίς ὑποστήσεται;
Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε Κύριε.
Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.
Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.
Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις.
Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

### Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμός. ρλ'. 130.

Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου.
Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ.
Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου.
Ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου.
Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

### Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμός. ρλα'. 131.

Μνήσθητι Κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ.
Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ.
Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς με, ϗ τοῖς βλεφάροις με νυςαγμὸν, ϗ ἀνάπαυσιν τοῖς κροτάφοις με.

Ἕως ȣ̓ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ.

Ἰδὲ ἠκέσαμεν αὐτὴν ἐν Εὐφραθᾷ. Εὕρομεν αὐτὴν εν τοῖς πεδίοις τȣ̃ δρυμȣ̃.

Εἰσελευσώμεθα εἰς τὰ σκηνώματα αὐτȣ̃, προσκυνήσωμεν εἰς τὸν τόπον, ȣ̃ ἔςησαν οἱ πόδες αὐτȣ̃.

Ἀνάςηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σε, σὺ ϗ ἡ κιβωτὸς τȣ̃ ἁγιάσματός σε.

Οἱ Ἱερεῖς σε ἐνδύσονται δικαιοσύνην, ϗ οἱ ὅσιοί σε ἀγαλλιάσονται.

Ἕνεκεν Δαβὶδ τȣ̃ δȣ́λε σε, μὴ ἀποςρέψῃς τὸ πρόσωπον τȣ̃ Χριςȣ̃ σε.

Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, ϗ ȣ̓ μὴ ἀθετήσει αὐτήν. Ἐκ καρπȣ̃ τῆς κοιλίας σε θήσομαι ἐπὶ τȣ̃ θρόνȣ σε.

Ἐὰν φυλάξωνται οἱ Υἱοί σε τὴν διαθήκην με, ϗ τὰ μαρτύριά με ταῦτα, ἃ διδάξω αὐτȣ́ς.

Καὶ οἱ Υἱοὶ αὐτῶν ἕως τȣ̃ αἰῶνος καθιȣ̃νται ἐπὶ τȣ̃ θρόνȣ σου.

Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ἡρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

Αὕτη ἡ κατάπαυσίς με εἰς αἰῶνα αἰῶνος. Ὧδε κατοικήσω, ὅτι ἡρετισάμην αὐτήν.

Τὴν θύραν αὐτῆς εὐλογῶν εὐλογήσω, τȣ̀ς πτωχȣ̀ς αὐτῆς χορτάσω ἄρτων.

Τȣ̀ς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, ϗ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.

Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριςῷ με.

Τȣ̀ς ἐχθρȣ̀ς αὐτȣ̃ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά με.

### Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρλβ'. 132.

Ἰδὲ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφȣ̀ς ἐπὶ τὸ αὐτό;

Ὡς μῦρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών.

Τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τȣ̃ ἐνδύματος αὐτȣ̃. Ὡς δρόσος Ἀερμὼν, ἡ καταβαίνεσα ἐπὶ τὰ ὄρη Σιών.

Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τȣ̃ αἰῶνος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς. ρλγʹ. 133.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου.
Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.
Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον.
Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

Τὸ Τρισάγιον, καὶ τὰ Τροπάρια. ἦχος βʹ.

Πρίν με καταδικάσῃς Κύριέ μου, Κύριε δός μοι ἐπιστροφὴν καὶ διόρθωσιν τῶν πολλῶν μου ἁμαρτιῶν. δός μοι κατάνυξιν πνευματικὴν, ὅπως βοήσω πρὸς σὲ, εὔσπλαγχνε, φιλάνθρωπε, ὁ Θεός μου, σῶσόν με.

Δόξα.

Τοῖς ἀνοήτοις κτήνεσιν ὁμοιωθεὶς, ἐγὼ ὁ ἄσωτος παρασυνεβλήθην αὐτοῖς, ἐπιστροφήν μοι δώρησαι Χριστὲ, ὅπως λάβω παρὰ σοῦ τὸ μέγα ἔλεος.

Καὶ νῦν.

Μὴ ἀποστρέψῃς δέσποινα τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ δεομένου σε, ἀλλ' ὡς εὔσπλαγχνος μήτηρ τοῦ οἰκτίρμονος Θεοῦ, σπεῦσον πρὸ τέλους ἐπιστροφήν μοι δώρησαι, ὅπως σωθῶ διὰ σοῦ, σὺ γὰρ εἶ σωτηρία καὶ ἐλπίς μου ἀκαταίσχυντος Κυρία μου.

Τὸ Κύριε ἐλέησον μʹ καὶ ἡ εὐχή.

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μὴ δὲ τῇ ὀργῇ σου παιδεύσειςμε. Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος ἐλέησόν με τὸν ἁμαρτωλὸν, τὸν πτωχὸν, τὸν γυμνὸν, τὸν ῥάθυμον, τὸν ἀμελῆ, τὸν ἄπορον, τὸν ἐλεεινὸν, τὸν πόρνον, τὸν μοιχὸν, τὸν μαλακὸν, τὸν ἀρσενοκοίτην, τὸν ῥυπαρὸν, τὸν ἄσωτον, τὸν ἀγνώμονα, τὸν πεπωρωμένον, τὸν μεθυσμένον, τὸν κατακεκαυμένον, τὸν ἀπρόσωπον, τὸν ἀπαῤῥησίαστον, τὸν ἀναπολόγητον, τὸν ἀνάξιον τῆς σῆς φιλανθρωπίας, καὶ ἄξιον πάσης τιμωρίας καὶ γεένης, καὶ κολάσεως, καὶ μὴ διὰ τὸ πλῆθος τῶν τοσούτων μου ἐγκλημάτων, πλήθει ὑποβάλεις λυτρωτὰ κολάσεων. ἀλλὰ ἐλέησόν με ὅτι ἀσθενής εἰμὶ καὶ τῇ ψυχῇ καὶ τῇ σαρκὶ, καὶ τῇ γνώμῃ, καὶ τῷ λογισμῷ, καὶ οἷς ἐπίστασαι κρίμασι σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου, πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων, ὅτι εὐλογητὸς εἶ εἰς πάντας τοὺς αἰῶνας. ΚΑ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΜΗΛΕΩΝ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ´ΘΙΣΜΑ ΔΕ´ΚΑΤΟΝ Ε´ΝΝΑΤΟΝ.

Ἀλληλούϊα, Ψαλμὸς ρλδ´. 134.

Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε δοῦλοι Κύριον.

Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν.

Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος. Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ.

Ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ Κύριος, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς Θεούς.

Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν ἐν τῷ Οὐρανῷ, καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις.

Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς. Ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν.

Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους.

Ἐξαπέστειλε σημεῖα, καὶ τέρατα ἐν μέσῳ σου Αἴγυπτε, ἐν Φαραῷ, καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ.

Ὃς ἐπάταξεν ἔθνη πολλὰ, καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς.

Τὸν Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν, καὶ πάσας τὰς Βασιλείας Χαναάν.

Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ λαῷ αὐτοῦ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κύριε τὸ ὄνομά σε εἰς τὸν αἰῶνα, ᾗ τὸ μνημόσυνόν σε εἰς γενεὰν, ᾗ γενεάν.

Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτε, ᾗ ἐπὶ τοῖς δέλοις αὐτε παρακληθήσεται.

Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον, ᾗ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.

Στόμα ἔχεσι, ᾗ ἐ λαλήσεσιν, ὀφθαλμὲς ἔχεσι, ᾗ ἐκ ὄψονται.

Ὦτα ἔχεσι, ᾗ ἐκ ἐνωτιθήσονται, ἐδὲ γάρ ἐςι πνεῦμα ἐν τῷ ςόματι αὐτῶν.

Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιεντες αὐτὰ, ᾗ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς.

Οἶκος Ἰσραὴλ εὐλογήσατε τὸν Κύριον. Οἶκος Ἀαρὼν εὐλογήσατε τὸν Κύριον. Οἶκος Λευῒ εὐλογήσατε τὸν Κύριον.

Οἱ φοβεμενοι τὸν Κύριον, εὐλογήσατε τὸν Κύριον.

Εὐλογητὸς Κύριος ἐκ Σιὼν, ὁ κατοικῶν Ἰερεσαλήμ.

Ἀλληλεΐα. Ψαλμὸς ρλέ. 135.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.

Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν Θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν Κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.

Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.

Τῷ ποιήσαντι τὲς ἐρανὲς ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.

Τῷ ςερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.

Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.

Τὸν ἥλιον εἰς ἐξεσίαν τῆς ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.

Τὴν σελήνην, ᾗ τὲς ἀςέρας εἰς ἐξεσίαν τῆς νυκτὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.

Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.

Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσε αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.

Ἐν χειρὶ κραταιᾷ, ᾗ ἐν βραχίονι ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτε.

Τῷ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσȣ αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Καὶ ἐκτινάξαντι Φαραὼ, ϗ τὴν δύναμιν αὐτȣ͂ εἰς θάλασσαν ἐρυθρὰν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Τῷ διαγαγόντι τὸν λαὸν αὐτȣ͂ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Τῷ πατάξαντι Βασιλεῖς μεγάλȣς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Καὶ ἀποκτείναντι Βασιλεῖς κραταιȣ̀ς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Τὸν Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Κληρονομίαν Ἰσραὴλ δȣ́λῳ αὐτȣ͂, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Ὁ διδȣ̀ς τροφὴν πάσῃ σαρκὶ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

Ἐξομολογεῖσθε τῷ Θεῷ τȣ͂ Οὐρανȣ͂, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ͂.

### Ψαλμὸς τῷ Δαβὶδ, διὰ Ἱερεμίȣ ρλϛ'. 136.

Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν, ϗ ἐκλαύσαμεν, ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών.

Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς, ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.

Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς, λόγȣς ᾠδῶν.

Καὶ οἱ ἀπαγαγόντες ἡμᾶς, ὕμνον· ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.

Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίȣ ἐπὶ γῆς ἀλλοτρίας;

Ἐὰν ἐπιλάθωμαί σȣ Ἱερȣσαλὴμ, ἐπιλησθείη ἡ δεξιά μȣ.

Κολληθείη ἡ γλῶσσά μȣ τῷ λάρυγγί μȣ, ἐὰν μή σȣ μνησθῶ.

Ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερȣσαλὴμ, ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μȣ.

Μνήσθητι Κύριε τῶν Υἱῶν Ἐδὼμ, τὴν ἡμέραν Ἱερȣσαλήμ.

Τῶν λεγόντων, ἐκκενȣ͂τε, ἐκκενȣ͂τε ἕως τῶν θεμελίων αὐτῆς.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος, Μακάριος, ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σε, ὃ ἀνταπέδωκας ἡμῖν.

Μακάριος ὃς κρατήσει, ϗ ἐδαφιεῖ τὰ νήπιά σε πρὸς τὴν πέτραν.

Δόξα, ϗ νῦν. Α᾿λληλεΐα.

Ψαλμὸς τῷ Δαβίδ. Α᾿γγαίε ϗ Ζαχαρίε, ρλζ. 137.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ με, ϗ ἐναντίον Α᾿γγέλων ψαλῶ σοι, ὅτι ἤκεσας πάντα τὰ ῥήματα τε σόματός με.

Προσκυνήσω πρὸς ναὸν ἅγιόν σε, ϗ ἐξομολογήσομαι τῷ ὀνόματί σε.

Ἐπὶ τῷ ἐλέει σε, ϗ τῇ ἀληθείᾳ σε, ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σε.

Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκεσόν με, πολυωρήσεις με ἐν ψυχῇ με δυνάμει σε.

Ἐξομολογησάσθωσάν σοι Κύριε πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκεσαν πάντα τὰ ῥήματα τε σόματός σε.

Καὶ ᾀσάτωσαν ἐν ταῖς ᾠδαῖς Κυρίε, ὅτι μεγάλη ἡ δόξα Κυρίε.

Ὅτι ὑψηλὸς Κύριος, ϗ τὰ ταπεινὰ ἐφορᾷ, ϗ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.

Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με, ἐπ᾿ ὀργὴν ἐχθρῶν με ἐξέτεινας χεῖράς σε, ϗ ἔσωσέ με ἡ δεξιά σε.

Κύριος ἀνταποδώσει ὑπὲρ ἐμε. Κύριε τὸ ἔλεός σε εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σε μὴ παρίδῃς.

Εἰς τὸ τέλος.

Ψαλμὸς τῷ Δαβίδ, Ζαχαρίε ἐν τῇ διασπορᾷ. ρλή. 138.

Κύριε ἐδοκίμασάς με, ϗ ἔγνως με. σὺ ἔγνως τὴν καθέδραν με, ϗ τὴν ἔγερσίν με.

Σὺ συνῆκας τὲς διαλογισμές με ἀπὸ μακρόθεν, τὴν τρίβον με, ϗ τὴν σχοῖνόν με σὺ ἐξιχνίασας.

Καὶ πάσας τὰς ὁδές με προεῖδες. ὅτι ἐκ ἔσι δόλος ἐν γλώσσῃ με.

Ἰδὲ Κύριε, σὺ ἔγνως πάντα τὰ ἔσχατα, ϗ τὰ ἀρχαῖα. Σὺ ἔπλασάς με, ϗ ἔθηκας ἐπ᾿ ἐμὲ τὴν χεῖρά σε.

Ἐθαυμασώθη ἡ γνῶσίς σε ἐξ ἐμε, ἐκραταιώθη, ε μὴ δύνωμαι πρὸς αὐτήν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Πȣ̃ πορευθῶ ἀπὸ τȣ̃ Πνεύματός σȣ, ἠ ἀπὸ τȣ̃ προσώπȣ σȣ πȣ̃ φύγω;
Εἀν ἀναβῶ εἰς τὸν Οὐρανὸν, σὺ ἐκεῖ εἶ. ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει.
Εἀν ἀναλάβοιμι τὰς πτέρυγάς μȣ κατ᾽ ὄρθρον, ἠ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης.
Καὶ γὰρ ἐκεῖ ἡ χείρ σȣ ὁδηγήσει με, ἠ καθέξει με ἡ δεξιά σȣ.
Καὶ εἶπα, ἄρα σκότος καταπατήσει με, ἠ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μȣ.
Οτι σκότος ȣ̉ σκοτισθήσεται ἀπὸ σȣ̃, ἠ νὺξ ὡς ἡμέρα φωτισθήσεται. Ως τὸ σκότος αὐτῆς, ȣ̉́τω ἠ τὸ φῶς αὐτῆς.
Οτι σὺ ἐκτήσω τȣ̀ς νεφρȣ́ς μȣ. ἀντελάβȣ μȣ ἐκ γαςρὸς μητρός μȣ.
Εξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαςώθης. Θαυμάσια τὰ ἔργα σȣ, ἠ ἡ ψυχή μȣ γινώσκει σφόδρα.
Οὐκ ἐκρύβη τὸ ὀςȣ̃ν μȣ ἀπὸ σȣ̃, ὃ ἐποίησας ἐν κρυφῇ, ἠ ἡ ὑπόςασίς μȣ ἐν τοῖς κατωτάτοις τῆς γῆς.
Τὸ ἀκατέργαςόν μȣ εἶδον οἱ ὀφθαλμοί σȣ, ἠ ἐπὶ τὸ βιβλίον σȣ πάντες γραφήσονται. Ημέρας πλασθήσονται, ἠ ȣ̉δεὶς ἐν αὐτοῖς.
Εμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σȣ ὁ Θεὸς, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν.
Εξαριθμήσομαι αὐτȣ̀ς, ἠ ὑπὲρ ἄμμον πληθυνθήσονται· ἐξηγέρθην, ἠ ἔτι εἰμὶ μετὰ σȣ̃.
Εάν ἀποκτείνης ἁμαρτωλȣ̀ς ὁ Θεός. Ανδρες αἱμάτων ἐκκλίνατε ἀπ᾽ ἐμȣ̃.
Οτι ἐρισαί ἐςε εἰς διαλογισμȣ́ς. Λήψονται εἰς ματαιότητας τὰς πόλεις σȣ.
Οὐχὶ τȣ̀ς μισȣ̃ντάς σε Κύριε ἐμίσησα, ἠ ἐπὶ τȣ̀ς ἐχθρȣ́ς σȣ ἐξετηκόμην;
Τέλειον μῖσος ἐμίσȣν αὐτȣ̀ς, εἰς ἐχθρȣ̀ς ἐγένοντό μοι.
Δοκίμασόν με ὁ Θεὸς, ἠ γνῶθι τὴν καρδίαν μȣ.
Ετασόν με, ἠ γνῶθι τὰς τρίβȣς μȣ.
Καὶ ἴδε, εἰ ὁδὸς ἀνομίας ἐν ἐμοὶ, ἠ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

Εἰς τὸ τέλος.

Ψαλμὸς τῷ Δαβίδ. ρλθʹ. 139.

Εξελȣ̃ με Κύριε ἐξ ἀνθρώπȣ πονηρȣ̃, ἀπὸ ἀνδρὸς ἀδίκȣ ῥῦσαί με.

Οτι-

Δημόσια Βιβλιοθήκη Μηλεών

Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην την ἡμέραν παρετάσσοντο πολέμȣς.

Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.

Φύλαξόν με Κύριε ἐκ χειρὸς ἁμαρτωλȣ̃, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελȣ̃ με.

Οἵτινες διελογίσαντο τȣ̃ ὑποσκελίσαι τὰ διαβήματά μȣ. Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι.

Καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μȣ. Ἐχόμενα τρίβȣ σκάνδαλα ἔθεντό μοι.

Εἶπα τῷ Κυρίῳ, Θεός μȣ εἶ σὺ, ἐνώτισαι Κύριε τὴν φωνὴν τῆς δεήσεώς μȣ.

Κύριε, Κύριε δύναμις τῆς σωτηρίας μȣ, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μȣ ἐν ἡμέρᾳ πολέμȣ.

Μὴ παραδῷς με Κύριε ἀπὸ τῆς ἐπιθυμίας μȣ ἁμαρτωλῷ. Διελογίσαντο κατ᾽ ἐμȣ̃, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν.

Ἡ κεφαλὴ τȣ̃ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτȣ́ς.

Πεσȣ̃νται ἐπ᾽ αὐτȣ̀ς ἄνθρακες ἐν πυρὶ, καταβαλεῖς αὐτȣ̀ς ἐν ταλαιπωρίαις, ϗ ȣ̓ μὴ ὑποςῶσιν.

Ἀνὴρ γλωσσώδης ȣ̓ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.

Ἔγνων, ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν, ϗ τὴν δίκην τῶν πενήτων.

Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σȣ, ϗ κατοικήσȣσιν εὐθεῖς σὺν τῷ προσώπῳ σȣ.

Δόξα, ϗ νῦν Ἀλληλȣΐα.

Ψαλμὸς τῷ Δαβὶδ, ρμ΄. 140.

Κύριε ἐκέκραξα πρὸς σὲ, εἰσάκȣσόν μȣ· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μȣ, ἐν τῷ κεκραγέναι με πρὸς σέ.

Κατευθυνθήτω ἡ προσευχή μȣ ὡς θυμίαμα ἐνώπιόν σȣ, ἔπαρσις τῶν χειρῶν μȣ θυσία ἑσπερινή.

Θȣ̃ Κύριε φυλακὴν τῷ ςόματί μȣ, ϗ θύραν περιοχῆς περὶ τὰ χείλη μȣ.

Μὴ ἐκκλίνῃς τὴν καρδίαν μȣ εἰς λόγȣς πονηρίας, τȣ̃ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Σὺν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν, κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.

Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδύνθησαν.

Ὡσεὶ πάχος γῆς ἐῤῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀςᾶ αὐτῶν παρὰ τὸν ᾅδην.

Ὅτι πρὸς σὲ Κύριε, Κύριε οἱ ὀφθαλμοί μου, ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεςήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Πεσοῦνται ἐν ἀμφιβλήςρῳ αὐτῶν οἱ ἁμαρτωλοὶ, κατὰ μόνας εἰμὶ ἕως ἂν παρέλθω.

Συνέσεως τῷ Δαβὶδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχόμενον. ρμα'. 141.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.

Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.

Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

Κατενόουν εἰς τὰ δεξιὰ, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔςιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

Ἐκέκραξα πρὸς σὲ Κύριε, εἶπα, σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων.

Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.

Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μυλεών

Ψαλμὸς τῷ Δαβὶδ, ὅτε κατεδίωκεν αὐτὸν Ἀβεσσαλὼμ ὁ υἱὸς αὐτοῦ. ρμβ΄. 142.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου. Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. Ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου. Ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι Κύριε ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου. ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σε Κύριε ζήσεις με ἐν τῇ δικαιοσύνῃ σου.

Ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Δόξα, καὶ νῦν, Ἀλληλούϊα.

## Τὸ Τρισάγιον, καὶ τὰ Τροπάρια. ἦχος β.

Εὐχαριστῶν δοξάζω σε ὁ Θεός μου, ὅτι πᾶσι δέδωκας τοῖς ἁμαρτωλοῖς τὴν μετάνοιαν. Δόξα.

Σωτήρ μὴ καταισχύνῃς με, ὅταν ἔλθῃς κρῖναι κόσμον ἅπαντα, τὸν αἰσχύνης ἔργα ποιήσαντα. Καὶ νῦν.

Αἰ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

### Δόξα.

Ἀμέτρητά σοι πταίσας, καὶ ἀμετρήτους κολάσεις ἐκδέχομαι. ὁ Θεός μου οἴκτειρον, σῶσόν με. Καὶ νῦν

Τῷ πλήθει τοῦ ἐλέους σου νῦν προσφεύγω, τὰς σειρὰς διάλυσον Θεοτόκε τῶν ἐγκλημάτων μου.

Τὸ Κύριε ἐλέησον, μ'. καὶ ἡ εὐχή.

Δέσποτα Χριστὲ ὁ Θεός, ὁ τοῖς πάθεσί σου τὰ πάθη μου θεραπεύσας, καὶ τοῖς τραύμασί σου τὰ τραύματά μου ἰατρεύσας, χάρισαί μοι τῷ πολλά σοι πταίσαντι δάκρυα κατανύξεως· συγκέρασόν μου τῷ σώματι ἀπὸ ὀσμῆς τοῦ ζωοποιοῦ Σώματός σου, καὶ γλύκανόν μου τὴν ψυχὴν τῷ σῷ τιμίῳ Αἵματι ἀπὸ τῆς πικρίας, ἧς με ὁ ἀντίδικος ἐπότισεν. ὕψωσόν μου τὸν νοῦν πρὸς σὲ κάτω ἑλκυσθέντα, καὶ ἀνάγαγε ἀπὸ τοῦ χάσματος τῆς ἀπωλείας, ὅτι οὐκ ἔχω μετάνοιαν, οὐκ ἔχω κατάνυξιν, οὐκ ἔχω δάκρυον παρακλητικόν, τὰ ἐπανάγοντα τὰ τέκνα πρὸς τὴν ἰδίαν κληρονομίαν. ἐσκότισμαι τὸν νοῦν, ἐν τοῖς βιωτικοῖς πάθεσιν, οὐκ ἰσχύω ἀτενίσαι πρὸς σὲ ἐν ὀδύνῃ, οὐ δύναμαι θερμανθῆναι τοῖς δάκρυσι τῆς πρὸς σὲ ἀγάπης. Ἀλλὰ Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ θησαυρὸς τῶν ἀγαθῶν, δώρησαί μοι μετάνοιαν ὁλόκληρον. καὶ καρδίαν ἐπίπονον εἰς ἀναζήτησίν σου. Χάρισαί μοι τὴν χάριν σου, καὶ ἀνακαίνισον ἐν ἐμοὶ τὰς μορφὰς τῆς σῆς εἰκόνος· κατέλιπόν σε, μὴ με ἐγκαταλίπῃς, ἔξελθε εἰς ἀναζήτησίν μου, ἐπανάγαγε πρὸς τὴν νομήν σου, καὶ συναρίθμησόν με τοῖς προβάτοις τῆς ἐκλεκτῆς σου ποίμνης. διάθρεψόν με, σὺν αὐτοῖς ἐκ τῆς χλόης τῶν θείων σου μυστηρίων, πρεσβείαις τῆς πανάγνου Μητρός σου καὶ πάντων τῶν ἁγίων.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΚΑ΄ΘΙΣΜΑ ΕΙ΄ΚΟΣΤΟ΄Ν.

Ψαλμὸς τῷ Δαβὶδ, πρὸς τὸν Γολιάθ. ρμγ΄. 143.

Εὐλογητὸς Κύριος ὁ Θεός με, ὁ διδάσκων τὰς χεῖράς με εἰς παράταξιν, τὲς δακτύλες με εἰς πόλεμον.
Ἔλεός με καὶ καταφυγή με, ἀντιλήπτωρ με, καὶ ῥύςης με.
Ὑπερασπιςής με, καὶ ἐπ᾽ αὐτῷ ἤλπισα, ὁ ὑποτάσσων τὸν λαόν με ὑπ᾽ ἐμέ.
Κύριε, τί ἐςιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; ἢ Υἱὸς ἀνθρώπε, ὅτι λογίζῃ αὐτῷ;
Ἄνθρωπος ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτε ὡσεὶ σκιὰ παράγεσι.
Κύριε κλῖνον Οὐρανὲς, καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται.
Ἄςραψον ἀςραπὴν, καὶ σκορπιεῖς αὐτὲς, ἐξαπόςειλον τὰ βέλη σε, καὶ συνταράξεις αὐτές.
Ἐξαπόςειλον τὴν χεῖρά σε ἐξ ὕψες, ἐξελε με, ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς Υἱῶν ἀλλοτρίων.
Ὧν τὸ ςόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν, δεξιὰ ἀδικίας.
Ὁ Θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι.
Τῷ διδόντι τὴν σωτηρίαν τοῖς Βασιλεῦσι, τῷ λυτρεμένῳ Δαβὶδ τὸν δελον αὐτε ἐκ ῥομφαίας πονηρᾶς.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ῥῦσαί με, ϗ ἐξελοῦ με, ἐκ χειρὸς Υἱῶν ἀλλοτρίων. ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, ϗ ἡ δεξιὰ αὐτῶν, δεξιὰ ἀδικίας.
Ὧν οἱ Υἱοὶ αὐτῶν ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν.
Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.
Τὰ ταμεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο.
Τὰ πρόβατα αὐτῶν πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν.
Οἱ βόες αὐτῶν παχεῖς. Οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν.
Ἐμακάρισαν τὸν λαὸν, ᾧ ταῦτά ἐστι. Μακάριος ὁ λαὸς, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ.

Αἴνεσις τῷ Δαβίδ. ρμδʹ. 144.

Ὑψώσω σε ὁ Θεός μου, ὁ Βασιλεύς μου, ϗ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, ϗ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, ϗ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, ϗ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Μέγας Κύριος, ϗ αἰνετὸς σφόδρα. ϗ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.
Γενεὰ, ϗ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, ϗ τὴν δύναμίν σου ἀπαγγελοῦσι.
Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, ϗ τὰ θαυμάσιά σου διηγήσονται.
Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, ϗ τὴν μεγαλωσύνην σου διηγήσονται.
Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, ϗ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.
Οἰκτίρμων, ϗ ἐλεήμων ὁ Κύριος, μακρόθυμος, ϗ πολυέλεος.
Χρηστὸς Κύριος τοῖς σύμπασι, ϗ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.
Ἐξομολογησάσθωσάν σοι Κύριε πάντα τὰ ἔργα σου, ϗ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.
Δόξαν τῆς Βασιλείας σου ἐροῦσι, ϗ τὴν δυναστείαν σου λαλήσουσι.
Τοῦ γνωρίσαι τοῖς Υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, ϗ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ, καὶ γενεᾷ.

Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ Ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατεῤῥαγμένους.

Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.

Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς.

Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.

Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Δόξα καὶ νῦν

Ἀλληλούια Ἀγγαίου, καὶ Ζαχαρίου, Ψαλμός. ρμε. 145.

Αἴνει ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω,

Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ Υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία.

Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.

Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Τὸν ποιήσαντα τὸν Οὐρανὸν, καὶ τὴν γῆν, τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς.

Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι.

Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλούς.

Κύριος ἀνορθεῖ κατεῤῥαγμένους, Κύριος ἀγαπᾷ δικαίους.

Κύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κύριος φυλάσσει τὲς προσηλύτες. Ὀρφανὸν, ϗ χήραν ἀναλήψεται, ϗ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.
Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σε Σιὼν εἰς γενεὰν καὶ γενεάν.

Ἀλληλϊΐα Ἀγγαίε, ϗ Ζαχαρίε, Ψαλμός. ρμϛ΄. 146.

Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς, ψαλμὸς τῷ Θεῷ ἡμῶν, ἡδυνθείη αἴνεσις.
Οἰκοδομῶν Ἱερεσαλὴμ ὁ Κύριος, τὰς διασπορὰς τε Ἰσραὴλ ἐπισυνάξει.
Ὁ ἰώμενος τὲς συντετριμμένες τὴν καρδίαν, ϗ δεσμεύων τὰ συντρίμματα αὐτῶν.
Ὁ ἀριθμῶν πλήθη ἄςρων, ϗ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.
Μέγας ὁ Κύριος ἡμῶν, ϗ μεγάλη ἡ ἰχὺς αὐτε, ϗ τῆς συνέσεως αὐτε ἐκ ἔςιν ἀριθμός.
Ἀναλαμβάνων πραεῖς ὁ Κύριος, ταπεινῶν δὲ ἁμαρτωλὲς ἕως γῆς.
Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει, ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ.
Τῷ περιβάλλοντι τὸν Οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν.
Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον, ϗ χλόην τῇ δελείᾳ τῶν ἀνθρώπων.
Διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, ϗ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλεμένοις αὐτόν.
Οὐκ ἐν τῇ δυναςείᾳ τε ἵππε θελήσει, ἐδὲ ἐν ταῖς κνήμαις τε ἀνδρὸς εὐδοκεῖ.
Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβεμένοις αὐτὸν, ϗ ἐν τοῖς ἐλπίζεσιν ἐπὶ τὸ ἔλεος αὐτε.

Ἀλληλϊΐα Ἀγγαίε, ϗ Ζαχαρίε, Ψαλμός. ρμζ΄. 147.

Ἐπαίνει Ἱερεσαλὴμ τὸν Κύριον, αἴνει τὸν Θεόν σε Σιών.
Ὅτι ἐνίσχυσε τὲς μοχλὲς τῶν πυλῶν σε, εὐλόγησε τὲς Υἱές σε ἐν σοί.
Ὁ τιθεὶς τὰ ὅριά σε εἰρήνην, ϗ ςέαρ πυρε ἐμπιπλῶν σε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ο᾽ ἀποςέλλων τὸ λόγιον αὐτȣ̃ τῇ γῇ. ἕως τάχȣς δραμεῖται ὁ λόγος αὐτȣ̃.

Διδόντος χιόνα αὐτȣ̃ ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος.

Βάλλοντος κρύςαλλον αὐτȣ̃ ὡσεὶ ψωμȣς, κατὰ πρόσωπον ψύχȣς αὐτȣ̃ τίς ὑποςήσεται;

Ε᾽ξαποςελεῖ τὸν λόγον αὐτȣ̃, ϗ τήξει αὐτά. πνεύσει τὸ πνεῦμα αὐτȣ̃, ϗ ῥυήσεται ὕδατα.

Ο᾽ ἀπαγγέλλων τὸ λόγιον αὐτȣ̃ τῷ Ι᾽ακὼβ, δικαιώματα ϗ κρίματα αὐτȣ̃ τῷ Ι᾽σραήλ.

Οὐκ ἐποίησεν ȣ̔́τω παντὶ ἔθνει, ϗ τὰ κρίματα αὐτȣ̃ ȣ̓κ ἐδήλωσεν αὐτοῖς.

Δόξα, ϗ νῦν· Α᾽λληλȣΐα.

### Α᾽λληλȣΐα, Α᾽γγαίȣ, ϗ Ζαχαρίȣ. Ψαλμὸς ρμή. 148.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν Οὐρανῶν. αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίςοις.

Αἰνεῖτε αὐτὸν πάντες οἱ Α᾽γγελοι αὐτȣ̃, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτȣ̃.

Αἰνεῖτε αὐτὸν Η῞λιος, ϗ Σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄςρα, ϗ τὸ φῶς.

Αἰνεῖτε αὐτὸν οἱ Οὐρανοὶ τῶν Οὐρανῶν, ϗ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν Οὐρανῶν, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίȣ.

Ο῞τι αὐτὸς εἶπε, ϗ ἐγενήθησαν. αὐτὸς ἐνετείλατο, ϗ ἐκτίσθησαν.

Ε᾽ςησεν αὐτὰ εἰς τὸν αἰῶνα, ϗ εἰς τὸν αἰῶνα τȣ̃ αἰῶνος. πρόςαγμα ἔθετο, ϗ ȣ̓ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες, ϗ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιὼν, κρύςαλλος, πνεῦμα καταιγίδος, τὰ ποιȣ̃ντα τὸν λόγον αὐτȣ̃.

Τὰ ὄρη, ϗ πάντες οἱ βȣνοὶ, ξύλα καρποφόρα, ϗ πᾶσαι κέδροι.

Τὰ θηρία, ϗ πάντα τὰ κτήνη, ἑρπετὰ, ϗ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς, ϗ πάντες λαοὶ, ἄρχοντες ϗ πάντες κριταὶ γῆς.

Νεανίσκοι, ϗ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίȣ, ὅτι ὑψώθη τὸ ὄνομα αὐτȣ̃ μόνȣ.

Η᾽ ἐξομολόγησις αὐτȣ̃ ἐπὶ γῆς, ϗ Οὐρανȣ̃, ϗ ὑψώσει κέρας λαȣ̃ αὐτȣ̃.

Υ῟μνος πᾶσι τοῖς ὁσίοις αὐτȣ̃, τοῖς Υἱοῖς Ι᾽σραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Α᾽λ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀλληλεΐα, Ψαλμὸς. ρμθ'. 149.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. ἡ αἴνεσις αὐτῦ ἐν Ἐκκλησίᾳ ὁσίων.
Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτὸν, ᾗ Υἱοὶ Σιὼν ἀγαλλιάθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα αὐτῦ ἐν χορῷ, ἐν τυμπάνῳ, ᾗ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
Ὅτι εὐδοκεῖ Κύριος τῷ λαῷ αὐτῦ, ᾗ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ, ᾗ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Αἱ ὑψώσεις τῦ Θεῦ ἐν τῷ λάρυγγι αὐτῶν, ᾗ ῥομφαῖαι δίστομαι ἐν ταῖς χερσὶν αὐτῶν.
Τῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμῦς ἐν τοῖς λαοῖς.
Τῦ δῆσαι τῦς βασιλεῖς αὐτῶν ἐν πέδαις, ᾗ τῦς ἐνδόξυς αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.
Τῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον. δόξα αὕτη ἔσαι πᾶσι τοῖς ὁσίοις αὐτῦ.

Ἀλληλεΐα, Ψαλμὸς. ρν'. 150.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτῦ. Αἰνεῖτε αὐτὸν ἐν σερεώματι τῆς δυνάμεως αὐτῦ.
Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυνασείαις αὐτῦ. Αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτῦ.
Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ, ᾗ κιθάρᾳ.
Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ, ᾗ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς, ᾗ ὀργάνῳ.
Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα, καὶ νῦν· Ἀλληλεΐα.

Τὸ Τρισάγιον ᾗ τὰ τροπάρια. ἦχος πλβ'.

Πλήρωμα πάντων τῶν καλῶν σὺ εἶ Χριςέ μυ, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὴν ψυχήν μυ, ᾗ σῶσόν με ὡς μόνος πολυέλεος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Δ ό ξ α.

Εἰ καὶ ἥμαρτον Χριστὲ Σωτήρ μου ἐνώπιόν σου, ἄλλον Θεὸν πλήν σου οὐ γινώσκω. Θαῤῥῶ δὲ εἰς τὴν σὴν εὐσπλαγχνίαν δέξαι με εὔσπλαγχνε Πάτερ, καὶ Υἱὲ μονογενὲς, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ὡς τὸν ἄσωτον υἱὸν, καὶ σῶσόν με. Καὶ νῦν.

Ἄλλην καταφυγὴν, καὶ θερμὴν προστασίαν πλήν σου οὐ γινώσκω, ὡς παῤῥησίαν ἔχουσα πρὸς τὸν ἐκ σοῦ τεχθέντα Δέσποινα βοήθησον καὶ σῶσόν με τὸν δοῦλόν σου.

Τὸ Κύριε ἐλέησον, μ΄. καὶ ἡ εὐχή.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου ἐλέησόν με τὸν ἁμαρτωλὸν, καὶ συγχώρησόν μοι τῷ ἀναξίῳ δούλῳ σου ὅσα σοι ἥμαρτον παρ' ὅλον τὸν τῆς ζωῆς μου χρόνον, καὶ ἕως τῆς σήμερον. καὶ εἴτι ὡς ἄνθρωπος ἐπλημμέλησα, τὰ ἑκούσιά μου πταίσματα καὶ τὰ ἀκούσια, ἐν ἔργῳ καὶ λόγῳ, τὰ κατὰ νοῦν καὶ κατὰ διάνοιαν, τὰ ἐκ συναπαγῆς καὶ ἀπροσεξίας, καὶ πολλῆς μου ῥαθυμίας καὶ ἀμελείας, εἴτε τὸ ὄνομά σου τὸ ἅγιον ὤμοσα, ἤτε ἐπιόρκησα, ἢ ἐβλασφήμησα, κατὰ διάνοιαν, ἤτινα ἐλοιδόρησα, ἢ ἐσυκοφάντησα, ἢ ἐλύπησα, ἢ ἔντινι παρώργησα ἢ ἔκλεψα, ἢ ἐπόρνευσα, ἢ ἐψευσάμην, ἢ ἐλαθροφάγησα, ἢ φίλος κατέλαβε πρός με καὶ παρεῖδον αὐτὸν, ἢ ἀδελφὸν ἔθλιψα καὶ παρεπίκρανα, ἢ ἱσταμένου μου εἰς προσευχὴν καὶ ψαλμῳδίαν ὁ νοῦς μου ὁ πονηρὸς εἰς τὰ πονηρὰ περιεπόλευσεν, ἢ παρὰ τὸ πρέπον ἐτρύφησα, ἢ ἀφρόνως ἐγέλασα, ἢ εὐτράπελα ἐλάλησα, ἢ ἐκαινοδόξησα, ἢ ὑπερηφανευσάμην, ἢ κάλλος μάταιον ἐθεασάμην, καὶ ὑπ' αὐτοῦ ἐθέλχθην, ἢ τὰ μὴ δέοντά μοι ἐφλυάρησα, ἢ τὴν ἐντολὴν τοῦ πνευματικοῦ μου Πατρὸς οὐκ ἐφύλαξα, ἢ ἀργολόγησα, ἢ ἄλλο τι πονηρὸν ἐποίησα, ταῦτα γὰρ πάντα καὶ πλείονα τούτων ἔπραξα, ὧν οὐδὲ μέμνημαι. Ἐλέησον Κύριε καὶ συγχώρησόν μοι πάντα ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ἵνα ἐν εἰρήνῃ κοιμηθήσομαι, καὶ ὑπνώσω· ὑμνῶν καὶ εὐλογῶν καὶ δοξάζων σε, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ Παναγίῳ καὶ Ἀγαθῷ καὶ Ζωοποιῷ Πνεύματι, Ἀμήν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Οὗτος ὁ Ψαλμὸς ἰδιόγραφος τοῦ Δαβὶδ ὅτι, καὶ ἔξωθεν τοῦ ἀριθμοῦ τῶν ἑκατὸν πεντήκοντα Ψαλμῶν, ὅτε ἐμονομάχησε πρὸς τὸν Γολιάθ.

Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου, καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου, ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου.

Αἱ χεῖρές μου ἐποίησαν ὄργανον, καὶ οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον. Καὶ τίς ἀναγγελεῖ τῷ Κυρίῳ μου; Αὐτὸς Κύριος, αὐτὸς εἰσακούσει.

Αὐτὸς ἐξαπέστειλε τὸν Ἄγγελον αὐτοῦ, καὶ ἦρέ με ἐκ τῶν προβάτων τοῦ πατρός μου, καὶ ἔχρισέ με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ.

Οἱ ἀδελφοί μου καλοὶ, καὶ μεγάλοι, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς ὁ Κύριος.

Ἐξῆλθον εἰς συνάντησιν τῷ Ἀλλοφύλῳ, καὶ ἐπικατηράσατό με, ἐν τοῖς εἰδώλοις αὐτοῦ.

Ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μάχαιραν, ἀπεκεφάλισα αὐτὸν, καὶ ἦρα ὄνειδος ἐξ Υἱῶν Ἰσραήλ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

***************************************************

# ΩʼΔῊ ΠΡΏΤΗ.

Μωϋσέως ἐν τῇ Ἐξόδῳ. Κεφ. ιε.
Ἄρδην βυθίσας Φαραὼ Μωσῆς λέγει.

Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασαι. Ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν.

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτὸν, Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτόν.

Κύριος συντρίβων πολέμους, Κύριος ὄνομα αὐτῷ.

Ἅρματα Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ ἔῤῥιψεν εἰς θάλασσαν. Ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ.

Πόντῳ ἐκάλυψεν αὐτοὺς, κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος.

Ἡ δεξιά σου Κύριε δεδόξασαι ἐν ἰσχύϊ, ἡ δεξιά σου χεὶρ Κύριε ἔθραυσεν ἐχθρούς.

Καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ἀπέστειλας τὴν ὀργήν σου, κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην, καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ.

Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα, ἐπάγη καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.

Εἶπεν ὁ ἐχθρὸς, διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου.

Ἀπέστειλας τὸ Πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα, ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῷ.

Τίς ὅμοιός σοι ἐν θεοῖς Κύριε; τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς, ἐνδόξως ποιῶν τέρατα.

Ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ.

Ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω. Παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κατάλυμα ἅγιόν σου.

Ἤκουσαν ἔθνη, καὶ ὠργίσθησαν, ὠδῖνες ἔλαβον κατοικοῦντας Φιλιστιείμ.

Τό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Τότε ἔσπευσαν ἡγεμόνες Ἐδὼμ, καὶ ἄρχοντες Μωαβιτῶν, ἔλαβεν αὐτὲς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικεντες Χαναάν.
Ἐπιπέσοι ἐπ' αὐτὲς φόβος, καὶ τρόμος, μεγέθει βραχίονός σε ἀπολιθωθήτωσαν.
Ἕως ἂν παρέλθῃ ὁ λαός σε Κύριε, ἕως ἂν παρέλθῃ ὁ λαός σε ἔτος, ὃν ἐκτήσω.
Εἰσαγαγὼν καταφύτευσον αὐτὲς εἰς ὄρος κληρονομίας σε, εἰς ἕτοιμον κατοικητήριόν σε, ὃ κατειργάσω Κύριε ἁγίασμα, ὃ ἡτοίμασαν αἱ χεῖρές σε.
Κύριος βασιλεύων τῶν αἰώνων, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι.
Ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι, καὶ ἀναβάταις εἰς θάλασσαν. Καὶ ἐπήγαγεν ἐπ' αὐτὲς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης. Οἱ δὲ Υἱοὶ Ἰσραὴλ, ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης.

Δόξα, καὶ νῦν. Ἀλληλεΐα.

## ΩʼΔΗʼ ΔΕΥΤΕΡΑ.

Ὠδὴ Μωϋσέως ἐν τῷ Δευτερονομίῳ. Κεφ. λβ΄.
Νόμε γραφέντος αὖθις, ᾠδὴ Μωσέως.

Πρόσεχε Οὐρανὲ καὶ λαλήσω, καὶ ἀκεέτω ἡ γῆ ῥήματα ἐκ στόματός με.
Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά με, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά με, ὡς ὄμβρος ἐπ' ἄγρωσιν, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον.
Ὅτι ὄνομα Κυρίε ἐκάλεσα, δότε μεγαλωσύνην τῷ Θεῷ ἡμῶν.
Θεὸς ἀληθινὰ τὰ ἔργα αὐτε, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτε κρίσεις. Θεὸς πιστὸς, καὶ ἐκ ἔστιν ἀδικία ἐν αὐτῷ. Δίκαιος καὶ ὅσιος ὁ Κύριος.
Ἡμάρτοσαν ἐκ αὐτῷ τέκνα μωμητά. Γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα Κυρίῳ ἀνταποδίδοτε;
Οὗτος λαὸς μωρὸς, καὶ ἐχὶ σοφός. ἐκ αὐτὸς ἔτός σε πατὴρ ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔπλασέ σε;
Μνήσθητι ἡμέρας αἰῶνος, σύνετε δὴ ἔτη γενεᾶς γενεῶν.
Ἐπερώτησον τὸν πατέρα σε, καὶ ἀναγγελεῖ σοι, τὲς πρεσβυτέρες σε καὶ ἐρεσί σοι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὅτε διεμέριζεν ὁ Ὕψιςος ἔθνη, ὡς διέσπειρεν Υἱȣ̀ς Ἀδάμ. Ἔςησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν Ἀγγέλων Θεȣ̃.

Καὶ ἐγενήθη μερὶς Κυρίȣ, λαὸς αὐτȣ̃ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτȣ̃ Ἰσραήλ.

Αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἐν δίψει καύματος ἐν ἀνύδρῳ. Ἐκύκλωσεν αὐτὸν, ϗ ἐπαίδευσεν αὐτὸν, ϗ διεφύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμȣ̃.

Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν ἑαυτȣ̃, ϗ ἐπὶ τοῖς νεοσσοῖς αὐτȣ̃ ἐπεπόθησε. Διεὶς τὰς πτέρυγας αὐτȣ̃ ἐδέξατο αὐτȣ̀ς, ϗ ἀνέλαβεν αὐτȣ̀ς ἐπὶ τῶν μεταφρένων αὐτȣ̃.

Κύριος μόνος ἦγεν αὐτȣ̀ς, ϗ ȣ̓κ ἦν μετʼ αὐτῶν Θεὸς ἀλλότριος.

Ἀνεβίβασεν αὐτȣ̀ς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, ἐψώμισεν αὐτȣ̀ς γενήματα ἀγρῶν. Ἐθήλασε μέλι ἐκ πέτρας, ϗ ἔλαιον ἐκ ςερεᾶς πέτρας.

Βούτυρον βοῶν, ϗ γάλα προβάτων, μετὰ ςέατος ἀρνῶν, ϗ κριῶν, υἱῶν ταύρων, ϗ τράγων. μετὰ ςέατος νεφρῶν πυρȣ̃, ϗ αἷμα ςαφυλῆς ἔπινον οἶνον.

Καὶ ἔφαγεν Ἰακὼβ, ϗ ἐνεπλήσθη, ϗ ἀπελάκτισεν ὁ ἠγαπημένος. Ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, ϗ ἐγκατέλιπε Θεὸν τὸν ποιήσαντα αὐτὸν, ϗ ἀπέςη ἀπὸ Θεȣ̃ Σωτῆρος αὐτȣ̃.

Παρώξυνάν με ἐπʼ ἀλλοτρίοις, ϗ ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με.

Ἔθυσαν δαιμονίοις, ϗ ȣ̓ Θεῷ. Θεοῖς οἷς ȣ̓κ ᾔδεισαν. καινοὶ ϗ πρόσφατοι ἥκασιν, οἷς ȣ̓κ ᾔδεισαν οἱ Πατέρες αὐτῶν.

Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες, ϗ ἐπελάθȣ Θεȣ̃ τȣ̃ τρέφοντός σε.

Καὶ εἶδε Κύριος, ϗ ἐζήλωσε, ϗ παρωξύνθη δἰ ὀργὴν Υἱῶν αὐτῶν, ϗ θυγατέρων.

Καὶ εἶπεν· ἀποςρέψω τὸ πρόσωπόν μȣ ἀπʼ αὐτῶν, ϗ δείξω τί ἔςαι αὐτοῖς ἐπʼ ἐσχάτων. Ὅτι γενεὰ ἐξεςραμμένη ἐςίν. Υἱοὶ, οἷς ȣ̓κ ἔςι πίςις ἐν αὐτοῖς.

Αὐτοὶ παρεζήλωσάν με ἐπʼ ȣ̓ Θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν. Κᾀγὼ παραζηλώσω αὐτȣ̀ς ἐπʼ ȣ̓κ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτȣ̀ς.

Ὅτι πῦρ ἐκκέκαυται ἐκ τȣ̃ θυμȣ̃ μȣ, καυθήσεται ἕως ᾅδȣ κατωτάτȣ. Καταφάγεται γῆν, ϗ τὰ γεννήματα αὐτῆς, φλέξει θεμέλια ὀρέων.

Συνάξω εἰς αὐτȣ̀ς κακὰ, ϗ τὰ βέλη μȣ συντελέσω εἰς αὐτȣ̀ς.

Τη-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Τηκόμενοι λιμῷ, ϗ βρώσει ὀρνέων, ϗ ὀπισθότονος ἀνίατος. Ὀδόντας θηρίων ἐξαποςελῶ εἰς αὐτὲς, μετὰ θυμᾶ συρόντων ἐπὶ τῆς γῆς.
Ἔξωθεν ἀτεκνώσει αὐτὲς μάχαιρα, ϗ ἐκ τῶν ταμείων φόβος. Νεανίσκος σὺν παρθένῳ, θηλάζων μετὰ καθεςηκότος πρεσβύτε.
Εἶπον, διασπερῶ αὐτὲς, παύσω δὴ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.
Εἰ μὴ δἰ ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονήσωσι, ϗ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι. Μὴ εἴποισαν, ἡ χεὶρ ἡμῶν ἡ ὑψηλὴ, ϗ ἐχὶ Κύριος ἐποίησε ταῦτα πάντα.
Ὅτι ἔθνος ἀπολωλεκὸς βελήν ἐςι, ϗ ἐκ ἔςιν ἐν αὐτοῖς ἐπιςήμη. Οὐκ ἐφρόνησαν συνιέναι.
Ταῦτα πάντα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον.
Πῶς διώξεται εἷς χιλίες, ϗ δύο μετακινήσεσι μυριάδας; εἰμὴ ὁ Θεὸς ἀπέδοτο αὐτὲς, ϗ ὁ Κύριος παρέδωκεν αὐτές.
Οὐ γάρ εἰσιν οἱ θεοὶ αὐτῶν, ὡς ὁ Θεὸς ἡμῶν, οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι.
Ἐκ γὰρ ἀμπέλων Σοδόμων ἡ ἄμπελος αὐτῶν, ϗ ἡ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας. Ἡ ςαφυλὴ αὐτῶν, ςαφυλὴ χολῆς, βότρυς πικρίας αυτῶν.
Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, ϗ θυμὸς ἀσπίδων ἀνίατος.
Οὐκ ἰδὲ ταῦτα πάντα συνῆκται παῤ ἐμοὶ, ϗ ἐσφράγισαι ἐν τοῖς θησαυροῖς με.
Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ, ὅταν σφαλῇ ὁ πὲς αὐτῶν. Ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτῶν, ϗ πάρεςιν ἕτοιμα ὑμῖν.
Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτᾶ, ϗ ἐπὶ τοῖς δέλοις αὐτᾶ παρακληθήσεται.
Εἶδε γὰρ αὐτὲς παραλελυμένες, ϗ ἐκλελοιπότας ἐν ἐπαγωγῇ, ϗ παρειμένες.
Καὶ εἶπε Κύριος, πᾶ εἰσιν οἱ θεοὶ αὐτῶν, ἐφ᾽ οἷς ἐπεποίθησαν ἐπ᾽ αὐτοῖς;
Ὧν τὸ ςέαρ τῶν θυσιῶν αὐτῶν ἠσθίετε, ϗ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν. Ἀναςήτωσαν ϗ βοηθησάτωσαν ὑμῖν, ϗ γενηθήτωσαν ὑμῶν σκεπαςαί.
Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, ϗ ἐκ ἔςι Θεὸς, πλὴν ἐμᾶ. Ἐγὼ ἀποκτενῶ, ϗ ζῆν ποιήσω. πατάξω, κἀγὼ ἰάσομαι, ϗ ἐκ ἔςιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν με.

Ὅτι

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὅτι ἀρῶ εἰς τὸν Οὐρανὸν τὴν χεῖρά μου, καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου, καὶ ἐρῶ· ζῶ ἐγὼ εἰς τὸν αἰῶνα.

Ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου. Καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσί με ἀνταποδώσω.

Μεθύσω τὰ βέλη μου ἀφ᾽ αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα. Ἀφ᾽ αἵματος τραυματιῶν, καὶ αἰχμαλωσίας, ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν.

Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ.

Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες Υἱοὶ Θεοῦ. Ὅτι τὸ αἷμα τῶν Υἱῶν αὐτοῦ ἐκδικᾶται, καὶ ἐκδικήσει, καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει. Καὶ ἐκκαθαριεῖ Κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

## ᾨΔΗ ΤΡΙΤΗ.

Προσευχὴ Ἄννης Μητρὸς Σαμουὴλ τοῦ Προφήτου. Κεφ. β΄.

*Θεὸν γεραίρει στεῖρα τίκτουσα ξένως.*

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη στόμα μου ἐπ᾽ ἐχθρούς μου, ηὐφράνθην ἐν σωτηρίῳ σου.

Ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλήν σου.

Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν, μὴ δὲ ἐξελθέτω μεγαλοῤῥημοσύνη ἐκ τοῦ στόματος ὑμῶν. Ὅτι Θεὸς γνώσεων Κύριος, καὶ Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ.

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

Πλήρεις ἄρτων ἠλαττώθησαν, καὶ οἱ πεινῶντες παρῆκαν γῆν. Ὅτι στεῖρα ἔτεκεν ἑπτά, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε.

Κύριος θανατοῖ, καὶ ζωογονεῖ· κατάγει εἰς ᾅδου, καὶ ἀνάγει.

Κύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Κύριος πτωχίζει, ϗ πλουτίζει, ταπεινοῖ, ϗ ἀνυψοῖ.

Ἀνιςᾷ ἀπὸ γῆς πένητα, ϗ ἀπὸ κοπρίας ἐγείρει πτωχόν. Τοῦ καθίσαι αὐτὸν μετὰ δυναςῶν λαοῦ, ϗ θρόνου δόξης κατακληρονομῶν αὐτόν.

Διδοὺς εὐχὴν τῷ εὐχομένῳ, ϗ εὐλόγησεν ἔτη δικαίου. Ὅτι οὐκ ἐνισχύει δυνατὸς ἀνὴρ ἐν τῇ ἰχύϊ αὐτοῦ. Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ, Κύριος Ἅγιος.

Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, ϗ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, ϗ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ.

Ἀλλʼ ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν, ϗ γινώσκειν τὸν Κύριον, ϗ ποιεῖν κρῖμα, ϗ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς.

Κύριος ἀνέβη εἰς Οὐρανούς, ϗ ἐβρόντησεν. αὐτὸς κρινεῖ ἄκρα γῆς, δίκαιος ὤν. Καὶ δώσει ἰχὺν τοῖς βασιλεῦσιν ἡμῶν, ϗ ὑψώσει κέρας χριςῶν αὐτοῦ.

Δόξα, ϗ νῦν Ἀλληλούϊα.

---

## ὨΔΗ ΤΕΤΑΡΤΗ.

Προσευχὴ Ἀββακοὺμ τοῦ Προφήτου. Κεφ. γʹ.
Τὴν τοῦ Λόγου κένωσιν Ἀββακοὺμ φράσον.

Κύριε εἰσακήκοα τὴν ἀκοήν σου, ϗ ἐφοβήθην. Κύριε κατενόησα τὰ ἔργα σου, ϗ ἐξέςην.

Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ, ἐλέους μνησθήσῃ.

Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, ϗ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος.

Ἐκάλυψεν Οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, ϗ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.

Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔςαι, κέρατα ἐν χερσὶν αὐτοῦ, ϗ ἔθετο ἀγάπησιν κραταιὰν ἰχύος αὐτοῦ.

Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, ϗ ἐξελεύσεται εἰς παιδίαν κατὰ πόδας αὐτοῦ.

Ἔςη

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἔςη, ϗ ἐσαλεύθη ἡ γῆ. ἐπέβλεψε, ϗ ἐτάκη ἔθνη. Διετρίβη τὰ ὄρη βίᾳ, ἐτάκησαν βȣνοὶ αἰώνιοι, πορείας αἰωνίȣς αὐτῶν ἀντὶ κόπων εἶδον.

Σκηνώματα Αἰθιόπων πτοηθήσονται, ϗ σκηναὶ γῆς Μαδιάμ.

Μὴ ἐν ποταμοῖς ὀργιοθῆς Κύριε, μὴ ἐν ποταμοῖς ὁ θυμός σȣ, ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σȣ. Ὅτι ἐπιβήσῃ ἐπὶ τȣ̀ς ἵππȣς σȣ, ϗ ἡ ἱππασία σȣ σωτηρία.

Ἐντείνων ἐντενεῖς τὸ τόξον σȣ ἐπὶ σκῆπτρα, λέγει Κύριος. Ποταμῶν ῥαγήσεται γῆ.

Ὄψονταί σε, ϗ ὠδινήσȣσι λαοί. Σκορπίζων ὕδατα πορείας. ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς.

Ἐπήρθη ὁ Ἥλιος, ϗ ἡ Σελήνη ἔςη ἐν τῇ τάξει αὐτῆς. Εἰς φῶς αἱ βολίδες σȣ πορεύσονται, εἰς φέγγος ἀςραπῆς ὅπλων σȣ.

Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, ϗ ἐν θυμῷ πατάξεις ἔθνη.

Ἐξῆλθες εἰς σωτηρίαν λαȣ̃ σȣ, τȣ̃ σῶσαι τȣ̀ς Χριςȣ́ς σȣ ἐλήλυθας. Ἔβαλες κεφαλὰς ἀνόμων θάνατον, ἐξήγειρας δεσμȣ̀ς ἕως τραχήλȣ εἰς τέλος.

Διέκοψας ἐν ἐκςάσει κεφαλὰς δυναςῶν, σειοθήσονται ἐν αὐτοῖς· διανοίξȣσι χαλινȣ̀ς αὐτῶν, ὡς ὁ ἐσθίων πτωχὸς λάθρα.

Καὶ ἐπεβίβασας εἰς θάλασσαν τȣ̀ς ἵππȣς σȣ, ταράσσοντας ὕδατα πολλά.

Ἐφυλαξάμην, ϗ ἐπτοήθη ἡ καρδία μȣ ἀπὸ φωνῆς προσευχῆς τῶν χειλέων μȣ, ϗ εἰσῆλθε τρόμος εἰς τὰ ὀςᾶ μȣ, ϗ ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μȣ.

Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μȣ. τȣ̃ ἀναβῆναί με εἰς λαὸν παροικίας μȣ.

Διότι συκῆ ȣ̓ καρποφορήσει, ϗ ȣ̓κ ἔςαι γεννήματα ἐν ταῖς ἀμπέλοις. ψεύσεται ἔργον ἐλαίας, ϗ τὰ πεδία ȣ̓ ποιήσει βρῶσιν.

Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, ϗ ȣ̓χ ὑπάρξȣσι βόες ἐπὶ φάτναις.

Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μȣ.

Κύριος ὁ Θεός μȣ δύναμίς μȣ, ϗ τάξει τȣ̀ς πόδας μȣ εἰς συντέλειαν.

Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με, τȣ̃ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτȣ̃.

Δόξα, καὶ νῦν Ἀλληλȣ́ϊα.



Δημόσια Βιβλιοθήκη Μηλεών

## ΩʼΔΗʼ ΠΕʼΜΠΤΗ.

Προσευχὴ Ἠσαΐȣ τȣ̃ Προφήτȣ. Κεφ. κς. 1.
Ἠσαΐȣ πρόῤῥησις, Εὐχὴ τὸ πλέον.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μȣ πρὸς σὲ ὁ Θεὸς, διότι φῶς τὰ προςάγματά σȣ ἐπὶ τῆς γῆς. Δικαιοσύνην μάθετε οἱ ἐνοικȣ̃ντες ἐπὶ τῆς γῆς.

Πέπαυται γὰρ ὁ ἀσεβὴς, ȣ̓ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν ȣ̓ μὴ ποιήσει. Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίȣ.

Κύριε ὑψηλός σȣ ὁ βραχίων, ϗ ȣ̓κ ᾔδεισαν, γνόντες δὲ αἰσχυνθήτωσαν. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, ϗ νῦν πῦρ τȣ̀ς ὑπεναντίȣς ἔδεται.

Κύριε ὁ Θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Κύριε ὁ Θεὸς ἡμῶν κτῆσαι ἡμᾶς. Κύριε ἐκτός σȣ ἄλλον ȣ̓κ οἴδαμεν, τὸ ὄνομά σȣ ὀνομάζομεν.

Οἱ δὲ νεκροὶ ζωὴν ȣ̓ μὴ ἴδωσιν, ȣ̓δὲ ἰατροὶ ȣ̓ μὴ ἀναςήσωσι. Διὰ τȣ̃το ἐπήγαγες, ϗ ἀπώλεσας, ϗ ἦρας πᾶν ἄρσεν αὐτῶν.

Πρόσθες αὐτοῖς κακὰ Κύριε, πρόσθες αὐτοῖς κακὰ τοῖς ἐνδόξοις τῆς γῆς.

Κύριε ἐν θλίψει ἐμνήσθημέν σȣ, ἐν θλίψει μικρᾷ ἡ παιδεία σȣ ἡμῖν.

Καὶ ὡς ἡ ὠδίνȣσα ἐγγίζει τȣ̃ τεκεῖν, ϗ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, ȣ̔́τως ἐγενήθημεν τῷ ἀγαπητῷ σȣ.

Διὰ τὸν φόβον σȣ Κύριε ἐν γαςρὶ ἐλάβομεν, ϗ ὠδινήσαμεν, ϗ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. Οὐ πεσȣ́μεθα, ἀλλὰ πεσȣ̃νται οἱ ἐνοικȣ̃ντες ἐπὶ τῆς γῆς.

Ἀναςήσονται οἱ νεκροὶ, ϗ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, ϗ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ. Ἡ γὰρ δρόσος ἡ παρὰ σȣ̃, ἴαμα αὐτοῖς ἔςω, ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.

Βάδιζε λαός μȣ, εἴσελθε εἰς τὸ ταμεῖόν σȣ, ἀπόκλεισον τὴν θύραν σȣ, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίȣ.

Δόξα, ϗ νῦν, Ἀλληλȣ́ϊα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

## Ωʼ ΔΗ` ΕʼΚΤΗ.

Προσευχὴ Ἰωνᾶ τοῦ Προφήτου.
Ἐκ Θηρὸς ἐκραύγασεν Ἰωνᾶς λέγων. Κεφ. β'. 3.

Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου. ἐκ κοιλίας ᾅδου κραυγῆς μου, ἤκουσας φωνῆς μου.

Ἀπέῤῥιψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με. Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

Κἀγὼ εἶπον, ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου, ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς Ναὸν τὸν ἅγιόν σου;

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη. Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων, κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι. Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, πρὸς σὲ Κύριε ὁ Θεός μου.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ Κυρίου ἐμνήσθην. καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς Ναὸν τὸν ἅγιόν σου.

Φυλασσόμενοι μάταια, καὶ ψευδῆ, ἔλαιον αὐτοῖς ἐγκατέλιπον.

Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως, καὶ ἐξομολογήσεως θύσω σοι. ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ Κυρίῳ.

Δόξα, καὶ νῦν, Ἀλληλούϊα.

## Ωʼ ΔΗ` ΕʼΒΔΟΜΗ.

Προσευχὴ τῶν Ἁγίων τριῶν Παίδων.
Αἶνος φλόγα σβέννυσι τῶν τριῶν Παίδων. Κεφ. γ'. 2.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.

Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν. καὶ πάντα τὰ ἔργα σου ἀληθινὰ, καὶ εὐθεῖαι αἱ ὁδοί σου. καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν, ϗ ἐπὶ τὴν Πόλιν τὴν ἁγίαν τὴν τῶν Πατέρων ἡμῶν Ἱερουσαλήμ. ὅτι ἐν ἀληθείᾳ ϗ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν.

Ὅτι ἡμάρτομεν, ϗ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ, ϗ ἐξημάρτομεν ἐν πᾶσι, ϗ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν. οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γέννηται.

Καὶ πάντα, ὅσα ἐποίησας ἡμῖν, ϗ πάντα ὅσα ἐπήγαγες ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας, ϗ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων, ἀποστατῶν, ϗ βασιλεῖ ἀδίκῳ ϗ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.

Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα ἡμῶν. αἰσχύνη ϗ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου, ϗ τοῖς σεβομένοις σε.

Μὴ δὴ παραδώῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, ϗ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, ϗ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, ϗ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, ϗ Ἰσραὴλ τὸν ἅγιόν σου.

Οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ Οὐρανοῦ, ϗ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

Ὅτι Δέσποτα ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, ϗ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον, διὰ τὰς ἁμαρτίας ἡμῶν.

Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων, ϗ προφήτης, ϗ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορὰ, οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, ϗ εὑρεῖν ἔλεος.

Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ ϗ πνεύματι ταπεινώσεως προσδεχθείημεν, ὡς ἐν ὁλοκαυτώμασι κριῶν ϗ ταύρων, ϗ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων. οὕτω γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον, ϗ ἐκτελείσθω ὄπισθέν σου. ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί.

Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ, ϗ φοβούμεθά σε, ϗ ζητοῦμεν τὸ πρόσωπόν σου. μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου ϗ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου.

Ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, ϗ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε.

Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ, ϗ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, ϗ ἡ ἰσχὺς αὐτῶν συντριβείη.



Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ γνώτωσαν, ὅτι σὺ εἶ Κύριος ὁ Θεὸς μόνος, ϗ ἔνδοξος ἐφ᾽ ὅλην τὴν οἰκουμένην.

Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως, καίοντες τὴν κάμινον νάφθῃ, ϗ πίσσῃ, ϗ συππίῳ, ϗ κληματίδι·

Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα, ϗ διώδευσε, ϗ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων,

Ὁ δὲ Ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, ϗ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου.

Καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον. Καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτούς.

Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν, ϗ εὐλόγουν, ϗ ἐδόξαζον τὸν Θεὸν ἐν τῇ καμίνῳ, λέγοντες.

Η τῶν τριῶν ὕμνησις, ἣν ᾖδον Νέοι.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ϗ ὑπερύμνητος, ϗ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου, τὸ ἅγιον, τὸ ὑπερύμνητον, ϗ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, ὁ ὑπερύμνητος, ϗ ϗ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ὁ ὑπερύμνητος, ϗ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς Βασιλείας σου, ὁ ὑπερύμνητος, ϗ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ Οὐρανοῦ, ὁ ὑπερύμνητος, ϗ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Δόξα, ϗ νῦν. Ἀλληλούϊα:

---

## ΩΔΗ ΟΓΔΟΗ.

Ὕμνος τῶν Ἁγίων τριῶν Παίδων.

Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εὐλογεῖτε Ἄγγελοι Κυρίȣ, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε ὕδατα πάντα τὰ ὑπεράνω τῶν ȣ̓ρανῶν, πᾶσαι αἱ δυνάμεις Κυρίȣ, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε ἥλιος, ϗ σελήνη, ἄςρα τȣ̃ ȣ̓ρανȣ̃, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε πᾶς ὄμβρος ϗ δρόσος, πάντα τὰ πνεύματα, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε πῦρ ϗ καῦμα, ψῦχος ϗ καύσων, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε δρόσοι ϗ νιφετοὶ, πάγοι, ϗ ψύχος, τὸν Κύριον ὑμνεῖτε ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε πάχναι ϗ χιόνες, ἀςραπαὶ ϗ νεφέλαι, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε φῶς ϗ σκότος, νύκτες ϗ ἡμέραι, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε ἡ γῆ, ὄρη, ϗ βȣνοὶ, πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε πηγαὶ, θάλασσαι, ϗ ποταμοὶ, κήτη, ϗ πάντα τὰ κινȣ́μενα ἐν τοῖς ὕδασι, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε πάντα τὰ πετεινὰ τȣ̃ Οὐρανȣ̃, τὰ θηρία, ϗ πάντα τὰ κτήνη, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε Υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραὴλ, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε Ἱερεῖς Κυρίȣ, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε πνεύματα, ϗ ψυχαὶ δικαίων, ὅσιοι ϗ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε Ἀνανία, Ἀζαρία, ϗ Μισαὴλ, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε Ἀπόςολοι, Προφῆται, ϗ Μάρτυρες Κυρίȣ, τὸν Κύριον ὑμνεῖτε, ϗ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογȣ̃μεν Πατέρα, Υἱὸν, ϗ Ἅγιον Πνεῦμα, τὸν Κύριον ὑμνȣ̃μεν, ϗ ὑπερυψȣ̃μεν εἰς πάντας τȣ̀ς αἰῶνας.

Αἱ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Αἰνεμεν, εὐλογεμεν, ϗ προσκυνεμεν τὸν Κύριον, ὑμνεντες, ϗ ὑπερυψεντες αὐτὸν εἰς τὲς αἰῶνας.

Δόξα, ϗ νῦν, Ἀλληλεΐα.

## ΩʼΔῊ ἘΝΝΑ΄ΤΗ.

Αἴνεσις Ἁγνῆς Μητρὸς Παρθένε Κόρης. Κεφ. ά.

Μεγαλύνει ἡ ψυχή με τὸν Κύριον, ϗ ἠγαλλίασε τὸ πνεῦμά με ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί με.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δέλης αὐτε. ἰδὲ γὰρ ἀπὸ τε νῦν μακαριεσί με πᾶσαι αἱ γενεαί.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, ϗ ἅγιον τὸ ὄνομα αὐτε, ϗ τὸ ἔλεος αὐτε εἰς γενεὰν τοῖς φοβεμένοις αὐτόν.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτε, διεσκόρπισεν ὑπερηφάνες διανοίᾳ καρδίας αὐτῶν.

Καθεῖλε δυνάςας ἀπὸ θρόνων, ϗ ὕψωσε ταπεινὲς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, ϗ πλετεντας ἐξαπέςειλε κενές.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτε, μνησθῆναι ἐλέες, καθὼς ἐλάλησε πρὸς τὲς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ, ϗ τῷ σπέρματι αὐτε ἕως αἰῶνος.

Προσευχὴ Ζαχαρίε, τε Πατρὸς τε Προδρόμε.
Ὁ Ζαχάριας εὐλογεῖ Παιδὸς τόκον.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τε Ἰσραὴλ, ὅτι ἐπεσκέψατο, ϗ ἐποίσε λύτρωσιν τῷ Λαῷ αὐτε.

Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαβὶδ τε παιδὸς αὐτε.

Καθὼς ἐλάλησε διὰ ςόματος τῶν ἁγίων, τῶν ἀπʼ αἰῶνος Προφητῶν αὐτε.

Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, ϗ ἐκ χειρὸς πάντων τῶν μισεντων ἡμᾶς.

Ποιῆσαι ἔλεος μετὰ τῶν Πατέρων ἡμῶν, ϗ μνησθῆναι διαθήκης ἁγίας αὐτε.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν Πατέρα ἡμῶν, τȣ͂ δȣ͂ναι ἡμῖν ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας.

Λατρεύειν αὐτῷ ἐν ὁσιότητι ϗ δικαιοσύνῃ, ἐνώπιον αὐτȣ͂ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Καὶ σὺ Παιδίον Προφήτης Ὑψίςȣ κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπȣ Κυρίȣ, ἑτοιμάσαι ὁδȣ̀ς αὐτȣ͂.

Τȣ͂ δȣ͂ναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτȣ͂, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέȣς Θεȣ͂ ἡμῶν.

Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψȣς, ἐπιφᾶναι τοῖς ἐν σκότει, ϗ σκιᾷ θανάτȣ καθημένοις.

Τȣ͂ κατευθῦναι τȣ̀ς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΤΟΥ͂ ΣΟΦΩΤΑ΄ΤΟΥ ΝΙΚΗΦΟ΄ΡΟΥ ΤΟΥ͂ ΒΛΕΜΜΙ΄ΔΟΥΣ

ἐκλογὴ

Ἐκ τῆς Δαβιτικῆς βίβλου συλλεγεῖσα καὶ τεθεῖσα ἁρμοζόντως ἑκάστῃ ἑορτῇ τοῦ χρόνου.

*Ψάλλεται πρῶτον τὸ Αἰνεῖτε τὸ ὄνομα Κυρίου, καὶ τὸ, Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἔπειτα, οἱ κατὰ τὴν ἡμέραν τῆς τυχούσης ἑορτῆς σημειωθέντες στίχοι.*

---

## Δοῦλοι Κύριον Ἀλληλούϊα.

Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε δοῦλοι Κύριον. Ἀλληλούϊα.
Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Ἀλληλ.
Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος.
Ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν.
Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος.
Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ.
Ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ Κύριος.
Καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς Θεούς.
Πάντα ὅσα ἠθέλησεν ἐποίησεν ὁ Κύριος.
Ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ.
Ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις.
Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς.
Ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν.
Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.
Ὡς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου.
Ἀπὸ ἀνθρώπου ἕως κτήνους.

Ἐξα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐ ξαπέςειλε σημεῖα, ϗ τέρατα ἐν μέσῳ σȣ Αἴγυπτε.
Ἐ ν Φαραῶ ϗ ἐν πᾶσι τοῖς δȣ́λοις αὐτȣ̃.
Ὃ ς ἐπάταξεν ἔθνη πολλὰ
Κ αὶ ἀπέκτεινε βασιλεῖς κραταιȣ́ς,
Τ ὸν Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων.
Κ αὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν.
Κ αὶ πάσας τὰς βασιλείας Χαναάν.
Κ αὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν.
Κ ληρονομίαν Ἰσραὴλ λαῷ αὐτȣ̃.
Κ ύριε τὸ ὄνομά σȣ εἰς τὸν αἰῶνα.
Κ αὶ τὸ μνημόσυνόν σȣ εἰς γενεὰν ϗ γενεάν.
Ὅ τι κρινεῖ Κύριος τὸν λαὸν αὐτȣ̃.
Κ αὶ ἐπὶ τοῖς δȣ́λοις αὐτȣ̃ παρακληθήσεται.
Τ ὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον ϗ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.
Σ τόμα ἔχȣσι ϗ ȣ̓ λαλήσȣσιν.
Ὀ φθαλμȣ̀ς ἔχȣσι ϗ ȣ̓κ ὄψονται.
Ὦ τα ἔχȣσι ϗ ȣ̓κ ἐνωτισθήσονται.
Ο ὐδὲ γάρ ἐςι πνεῦμα ἐν τῷ ςόματι αὐτῶν.
Ὅ μοιοι αὐτοῖς γένοιντο οἱ ποιȣ̃ντες αὐτά.
Κ αὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς.
Ο ἶκος Ἰσραὴλ εὐλογήσατε τὸν Κύριον.
Ο ἶκος Ἀαρὼν εὐλογήσατε τὸν Κύριον.
Ο ἶκος Λευῒ εὐλογήσατε τὸν Κύριον.
Ο ἱ φοβȣ́μενοι τὸν Κύριον εὐλογήσατε τὸν Κύριον.
Ε ὐλογητὸς Κύριος ἐκ Σιὼν ὁ κατοικῶν Ἱερȣσαλήμ.

Ἐ ξομολογεῖσθαι τῷ Κυρίῳ ὅτι ἀγαθὸς, ἀλληλȣΐα· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ̃ ἀλληλȣΐα.
Ἐ ξομολογεῖσθε τῷ Θεῷ τῶν Θεῶν, ἀλληλȣΐα· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτȣ̃ ἀλληλȣΐα.
Ἐ ξομολογεῖσθε τῷ Κυρίῳ τῶν Κυρίων.
Τ ῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ.
Τ ῷ ποιήσαντι τȣ̀ς ȣ̓ρανȣ̀ς ἐν συνέσει.
Τ ῷ ςερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων.
Τ ῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Τὸν ἥλιον εἰς ἐξεσίαν τῆς ἡμέρας.
Τὴν Σελήνην, ἢ τὲς Ἀςέρας εἰς ἐξεσίαν τῆς νυκτός.
Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν.
Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσε αὐτῶν.
Ἐν χειρὶ κραταιᾷ, ἢ ἐν βραχίονι ὑψηλῷ.
Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις.
Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσε αὐτε.
Καὶ ἐκτινάξαντι Φαραὼ, ἢ τὴν δύναμιν αὐτοῖς εἰς θάλασσαν ἐρυθράν.
Τῷ διαγαγόντι τὸν λαὸν αὐτε ἐν τῇ ἐρήμῳ.
Τῷ πατάξαντι βασιλεῖς μεγαλες.
Καὶ ἀποκτείναντι βασιλεῖς κραταιές.
Τὸν Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων.
Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν.
Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν.
Κληρονομίαν Ἰσραὴλ δέλῳ αὐτε.
Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος.
Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.
Ὁ διδὲς τροφὴν πάσῃ σαρκί.
Ἐξομολογεῖσθε τῷ Θεῷ τε ἐρανε.

---

Εἰς τὸ Γενέσιον τῆς ὑπερενδόξε Δεσποίνης ἡμῶν Θεοτόκε. Σεπτεμβ. ή.

Τῆς πρᾳότητος αὐτε, Ἀλληλεία.

Μνήσθητι Κύριε τε Δαβὶδ, ἢ πάσης τῆς πρᾳότητος αὐτε. Ἀλληλεΐα.
Ὡς ὤμωσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ. ἀλληλεΐα.
Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκε με, εἰ καταβήσομαι ἐπὶ κλίνης ςρωμνῆς με.
Εἰ δόσω ὕπνον τοῖς ὀφθαλμοῖς με, ἢ τοῖς βλεφάροις με νυςαγμὸν ἢ ἀνάπαυσιν.
Ἕως ἕ εὕρον τόπον τῷ Κυρίῳ Θεῷ Ἰακώβ.
Ἰδὲ ἠκέσαμεν αὐτὴν ἐν Εὐφραθᾷ.
Εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τε δρυμε.
Αὕτη ἡ πύλη τε Κυρίε δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.

Δε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Δεδοξασμένα ἐλαλήθη περὶ σȣ̃ ἡ πόλις τȣ̃ Θεȣ̃.
Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς ϗ ȣ̓ σαλευθήσεται.
Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, ϗ ȣ̓ μὴ ἀθετήσει αὐτήν.
Ἐκ καρπȣ̃ τῆς κοιλίας σȣ θήσομαι ἐπὶ τȣ̃ θρόνȣ σȣ.
Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ἡρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.
Ὧδε κατοικήσω, ὅτι ἡρετισάμην αὐτήν.
Ἡγίασε τὸ σκήνωμα αὐτȣ̃ ὁ ὕψιςος.
Ἁγιωσύνη, ϗ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτȣ̃.
Ἅγιος ὁ ναός σȣ θαυμαςὸς ἐν δικαιοσύνῃ.
Τῷ οἴκῳ σȣ πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν.
Μνηςθήσομαι τȣ̃ ὀνόματός σȣ ἐν πάσῃ γενεᾷ ϗ γενεᾷ.
Διὰ τȣ̃το λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, ϗ εἰς τὸν αἰῶνα τȣ̃ αἰῶνος.

Δόξα, καὶ νῦν Ἀλληλȣΐα.

Εἰς τὴν Σεβάσμιον ὕψωσιν τȣ̃ Τιμίȣ ϗ Ζωοποιȣ̃ Σταυρȣ̃ Σεπτεμ. 14.

Τȣ̀ς πολεμȣ̃ντάς με Ἀλληλεΐα.

Δίκασον Κύριε τȣ̀ς ἀδικȣ̃ντάς με, πολέμισον τȣ̀ς πολεμȣ̃ντάς με ἀλληλεΐα.
Ἐπιλαβȣ̃ ὅπλȣ ϗ θυρεȣ̃, ϗ ἀνάςηθι εἰς τὴν βοήθειάν μȣ. Ἀλληλεΐα.
Ἔκχεον ῥομφαίαν, ϗ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με.
Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τȣ̃ προσώπȣ σȣ Κύριε.
Ὡς ὅπλῳ εὐδοκίας ἐςεφάνωσας ἡμᾶς.
Ἔδωκας τοῖς φοβȣμένοις σε σημείωσιν τȣ̃ φυγεῖν ἀπὸ προσώπȣ τόξȣ.
Ἀνέβης εἰς ὕψος ᾐχμαλώτευσας αἰχμαλωσίαν.
Ἔδωκας κληρονομίαν τοῖς φοβȣμένοις τὸ ὄνομά σȣ Κύριε.
Τȣ̃ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σȣ ἐν πᾶσιν ἔθνεσιν τὸ σωτήριόν σȣ.
Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τȣ̃ Θεȣ̃ ἡμῶν.
Προσκυνήσωμεν εἰς τὸν τόπον ȣ̓ ἔςησαν οἱ πόδες αὐτȣ̃.
Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τȣ̃ δρυμȣ̃.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν προαιώνων εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.
Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός.
Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.
Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιος ἐστί.
Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.
Καὶ ποίμανον αὐτοὺς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

Δόξα, καὶ νῦν Ἀλληλούϊα.

---

Εἰς τὸν Ἅγιον ἔνδοξον Ἀπόστολον Ἰωάννην τὸν Θεολόγον, καὶ εἰς τοὺς λοιποὺς Ἀποστόλους.

## Τὸ στερέωμα Ἀλληλούϊα.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα, Ἀλληλούϊα.
Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου Κύριε, καὶ γὰρ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων, Ἀλληλούϊα.
Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου.
Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.
Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ.
Ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.
Θεὸς Θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν.
Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου.
Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ.
Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ.
Ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν.
Ἄρχοντες Ζαβουλὼν ἄρχοντες Νεφθαλείμ.
Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη
Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων.
Μέγας καὶ φοβερὸς ἐστὶν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ
Ἐνέγκατε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμὴν

Ἀναγ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτȣ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτȣ.
Εἴπατε ἐν τοῖς ἔθνεσιν ὅτι Κύριος ἐβασίλευσε· ϗ γὰρ κατώρθωσε τὴν οἰκȣμένην ἥτις ȣ σαλευθήσεται.
Ἐν βȣλῇ εὐθέων ϗ συναγωγῇ μεγάλα τὰ ἔργα Κυρίȣ.
Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, ϗ εἰς τὰ πέρατα τῆς οἰκȣμένης τὰ ῥήματα αὐτῶν.
Ἔθετο ἐν αὐτοῖς τȣ̀ς λόγȣς τῶν χαλέων αὐτȣ.
Ἔδωκεν αὐτοῖς χώραις ἐθνῶν, ϗ πόνȣς λαῶν κατεκληρονόμησαν.
Ὑπέταξε λαȣ̀ς ἡμῖν, ϗ ἔθνη ὑπὸ τȣ̀ς πόδας ἡμῶν.
Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτȣ.
Μέγας ὁ Κύριος ἡμῶν, ϗ μεγάλη ἡ ἰσχὺς αὐτȣ, ϗ τῆς συνέσεως αὐτȣ ȣ̓κ ἔςιν ἀριθμός.
Αὐτὸς δώσει δύναμιν, ϗ κραταίωσιν τῷ λαῷ αὐτȣ, εὐλογητὸς ὁ Θεός.

Δόξα, ϗ νῦν. Ἀλληλȣΐα.

---

Εἰς τὸν ἅγιον Μεγαλομάρτυρα Δημήτριον ϗ εἰς τȣ̀ς λοιπȣ̀ς μάρτυρας.

Καὶ Δύναμις Ἀλληλȣΐα.

Ὁ Θεὸς ἡμῶν καταφυγὴ ϗ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρȣ́σαις ἡμᾶς σφόδρα Ἀλληλȣΐα.
Διὰ τȣ̃το ȣ̓ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, ϗ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.
Ὁ Θεὸς τίς ὁμοιωθήσεταί σοι, μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς ὁ Θεός.
Ὅτι ἰδȣ̀ οἱ ἐχθροί σȣ ἤχησαν, ϗ οἱ μισȣ̃ντες σε ἦραν κεφαλήν.
Ἐπὶ τὸν λαόν σȣ κατεπανȣργεύσαντο γνώμην, ϗ ἐβȣλεύσαντο κατὰ τῶν ἁγίων σȣ.
Εἶπον, δεῦτε ϗ ἐξολοθρεύσωμεν αὐτȣ̀ς ἐξ ἔθνȣς.
Ἔθεντο τὰ θνησιμαῖα τῶν δȣ́λων σȣ βρώματα τοῖς πετεινοῖς τȣ̃ ȣ̓ρανȣ̃.
Τὰς σάρκας τῶν ὁσίων σȣ τοῖς θηρίοις τῆς γῆς.
Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ.
Ἕνεκά σȣ θανατȣ́μεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.
Ἐδοκίμασαν ἡμᾶς εἰς τὴν παγίδα, ἔθȣ θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν.

Δι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Διήλθομεν διὰ πυρὸς ϰ̀ ὕδατος, ϰ̀ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.
Ἐν τῷ καταθλᾶσθαι τὰ ὀςᾶ με, ὠνείδιζόν με οἱ ἐχθροί με.
Καὶ ἐγενόμην μεμαςιγωμένος ὅλην τὴν ἡμέραν.
Καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων με προσέθηκαν.
Ἐκέκραξαν οἱ δίκαιοι ϰ̀ ὁ Κύριος εἰσήκεσεν αὐτῶν, ϰ̀ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐῤῥύσατο αὐτές.
Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτε ἐθαυμάςωσεν ὁ Κύριος.
Θαυμαςὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτε.
Φῶς ἀνέτειλε τῷ δικαίῳ ϰ̀ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.
Εἰς μνημόσυνον αἰώνιον ἔςαι δίκαιος.
Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ϰ̀ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται.
Εὐφράνθητε ἐπὶ Κύριον, ϰ̀ ἀγαλλιᾶσθε δίκαιοι ϰ̀ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Δόξα, καὶ νῦν Ἀλληλεΐα

Εἰς τὴν σύναξιν τῶν Ἀρχαγγέλων Μιχαὴλ ϰ̀ Γαβριὴλ καὶ τῶν λοιπῶν Ἀσωμάτων δυνάμεων.

## Ψαλλῶσοι Ἀλληλεΐα

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ με ϰ̀ ἐναντίον Ἀγγέλων ψαλλῶσοι, Ἀλληλεΐα.
Ὁ ποιῶν τὲς Ἀγγέλες αὐτε Πνεύματα, ϰ̀ τὲς λειτεργὲς αὐτε πυρὸς φλόγα, Ἀλληλεΐα.
Ὁ καθήμενος ἐπὶ τῶν Χερεβὶμ ἐμφάνηθι ἐναντίον Ἐφραὶμ ϰ̀ Βενιαμὶν ϰ̀ Μανασσῆ.
Καὶ ἐπέβη ἐπὶ Χερεβὶμ, ϰ̀ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.
Μὴ δῴης εἰς σάλον τὸν πόδα σε, μηδὲ νυςάξῃ ὁ φυλάσσων σε.
Ἰδὲ ἐ νυςάξει, ἐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.
Ὅτι τὲς Ἀγγέλες αὐτε ἐντελεῖται περὶ σε τε διαφυλάξαι σε ἐν πάσαις τοῖς ὁδοῖς σε.

Ἐπὶ

Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἐπὶ χειρῶν ἀρᾶσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σε.
Παρεμβαλεῖ Ἄγγελος Κυρίε κύκλω τῶν φοβεμένων αὐτὸν, ἢ ῥύσεται αὐτές.
Ἐξαπέςειλε Κύριος τὸν Ἄγγελον αὐτε, ἢ ἦρε με ἐκ τῶν προβάτων τε πατρός με.
Ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ Ἀγγέλες, δόξῃ ἢ τιμῇ ἐςεφάνωσας αὐτόν.
Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτε, λειτεργοὶ αὐτε, οἱ ποιεντες τὸ θέλημα αὐτε.
Προσκυνήσατε αὐτῷ πάντες οἱ Ἄγγελοι αὐτε.
Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν ἐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίςοις.
Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτε.
Αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτε, σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Δόξα, καὶ νῦν Ἀλληλεΐα.

Εἰς τὸν ἐν Ἁγίοις Πατέρα ἡμῶν Ἰωάννην τὸν Χρυσόςομον, ἢ εἰς τὲς λοιπὲς Ἱεράρχας.

## Τὴν οἰκεμένην Ἀλληλεΐα.

Ἀκέσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικεντες τὴν οἰκεμένην.
Οἵτε γηγενεῖς ἢ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλέσιος ἢ πένης.
Τὸ ςόμα με λαλήσει σοφίαν, ἢ ἡ μελέτη τῆς καρδίας με σύνεσιν.
Δεῦτε τέκνα ἀκέσατέ με, φόβον Κυρίε διδάξω ὑμᾶς.
Πορευόμενος ἄμωμος ἢ ἐργαζόμενος δικαιοσύνην.
Ἀθῶος χερσὶ ἢ καθαρὸς τῇ καρδίᾳ, ὃς ἐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτε.
Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ.
Οὐκ ἔκρυψα τὸ ἔλεός σε, ἢ τὴν ἀλήθειάν σε ἀπὸ συναγωγῆς πολλῆς.
Τὴν δικαιοσύνην σε ἐκ ἔκρυψα ἐν τῇ καρδίᾳ με.
Τὴν ἀλήθειάν σε, ἢ τὸ σωτήριόν σε εἶπα.

Διη-

Δημόσια Βιβλιοθήκη Μηλεών

Διηγήσομαι τὸ ὄνομά σε τοῖς ἀδελφοῖς με, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.
Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς με, ἢ κυκλώσω τὸ θυσιαςήριόν σε Κύριε.
Τε ἀκεσαι με φωνῆς αἰνέσεώς σε ἢ διηγήσασθαι πάντα τὰ θαυμάσιά σε.
Κύριε ἠγάπησα εὐπρέπειαν οἴκε σε, ἢ τόπον σκηνώματος δόξης σε
Εἶπα τοῖς παρανομεσι μὴ παρανομεῖτε, ἢ τοῖς ἁμαρτάνεσι μὴ ὑψεῖτε κέρας.
Οὐκ ἐκάθησα μετὰ συνεδρίε ματαιότητος ἢ μετὰ παρανομέντων ἐ μὴ εἰσέλθω.
Ἐμίσησα ἐκκλησίαν πονηρευομένων ἢ μετὰ ἀσεβῶν ἐ μὴ καθήσω.
Στόμα δικαίε μελετήσει σοφίαν, ἢ ἡ γλῶσσα αὐτε λαλήσει κρίσιν.
Ὁ νόμος τε Θεε ἐν καρδίᾳ αὐτε, ἢ ἐχ ὑποσκελισθήσεται.
Οἰκονομήσει τὲς λόγες αὐτε, ἐν κρίσει.
Ἀπὸ ἀκοῆς πονηρᾶς ἐ φοβηθήσεται.
Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ ἢ ἐλπιεῖ ἐπ' αὐτόν.
Δίκαιος ὡς φοῖνιξ ἀνθήσει ἢ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίε ἐν ταῖς αὐλαῖς τε Θεε ἡμῶν ἐξανθήσει.
Οἱ ἱερεῖς σε Κύριε ἐνδύσονται δικαιοσύνην ἢ οἱ ὅσιοί σε ἀγαλλιάσονται.
Μακάριοι οἱ κατοικεντες ἐν τῷ οἴκῳ σε, εἰς τὲς αἰῶνας τῶν αἰώνων αἰνέσεσί σε.

Δόξα, ἢ νῦν, Ἀλληλεΐα.

---

Εἰς τὴν εἴσοδον τ Ὑπεραγίας Θεοτόκε Νοεμβ. κά.

Ἐν ὄρει Ἁγίῳ αὐτε Ἀλληλεΐα.

Μέγας Κύριος ἢ αἰνετὸς σφόδρα. ἐν πόλει τε Θεε ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτε. Ἀλληλεΐα.
Δεδοξασμένα ἐλαλήθη περὶ σε ἡ πόλις τε Θεε.
Ἡ πόλις τε βασιλέως τε μεγάλε.
Ἐν πόλει Κυρίε τῶν δυνάμεων, ἐν πόλει τε Θεε ἡμῶν.
Ὁ Θεὸς ἐν τοῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς.



Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.
Ἡγίασε τὸ σκήνωμα αὐτȣ͂ ὁ ὕψισος.
Ἁγιωσύνη ϗ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτȣ͂.
Ἅγιος ὁ ναός σȣ θαυμαςὸς ἐν δικαιοσύνῃ
Τῷ οἴκῳ σȣ πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν.
Θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σȣ.
Παρέςη ἡ βασίλισσα ἐκ δεξιῶν σȣ, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη.
Ἄκȣσον θύγατερ, ϗ ἴδε, ϗ κλῖνον τὸ ȣ͂ς σȣ, ϗ ἐπιλάθȣ τȣ͂ λαȣ͂ σȣ, ϗ τȣ͂ οἴκȣ τȣ͂ πατρός σȣ ϗ ἐπιθυμήσει ὁ βασιλεὺς τȣ͂ κάλλȣς σȣ.
Τὸ πρόσωπόν σȣ λιτανεύσȣσιν οἱ πλȣ́σιοι τȣ͂ λαȣ͂.
Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τȣ͂ βασιλέως ἔσωθεν.
Ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη.
Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς ϗ αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.
Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ ϗ ἀγαλλιάσει ἀχθήσονται εἰς ναὸν βασιλέως.
Μνησθήσομαι τȣ͂ ὀνόματός σȣ ἐν πάσῃ γενεᾷ ϗ γενεᾷ.
Διὰ τȣ͂το λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα ϗ εἰς τὸν αἰῶνα τȣ͂ αἰῶνος.

Δόξα, καὶ νῦν Ἀλληλȣ́ϊα.

***********************************************************

Εἰς τὸν ὅσιον Πατέρα ἡμῶν Σάββαν, ϗ εἰς τȣ̀ς λοιπȣ̀ς Ὁσίȣς.

Τῆς δεήσεώς μȣ Ἀλληλȣ́ϊα.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, ϗ προσέσχε μοι, ϗ εἰσήκȣσε τῆς δεήσεώς μȣ Ἀλληλȣ́ϊα.
Καὶ ἔςησεν ἐπὶ πέτραν τȣ̀ς πόδας μȣ, ϗ κατεύθυνε τὰ διαβήματά μȣ Ἀλληλȣ́ϊα.
Ἰδȣ̀ ἐμάκρυνα φυγαδεύων, ϗ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.
Ἠγρύπνησα, ϗ ἐγενόμην ὡς ςρȣθίον μονάζων ἐπὶ δώματος.
Ἐγενήθη τὰ δάκρυά μȣ ἐμοὶ ἄρτος ἡμέρας ϗ νυκτός.
Τὰ γόνατά μȣ ἠσθένησαν ἀπὸ νηςείας, ϗ ἡ σάρξ μȣ ἠλλοιώθη δι' ἔλεον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Λέσω καθ' ἑκάςην νύκτα τὴν κλίνην με, ἐν δάκρυσί με τὴν ςρωμνήν με βρέξω.
Ἐπλήγην ὡσεὶ χόρτος, ϗ ἐξηράνθη ἡ καρδία με, ὅτι ἐπελαθόμην τε φαγεῖν τὸν ἄρτον με.
Ἀπὸ φωνῆς τε ςεναγμε με ἐκολλήθη τὸ ὀςεν με τῇ σαρκί με.
Διὰ τὲς λόγες τῶν χειλέων σε ἐγὼ ἐφύλαξα ὁδὲς σκληράς.
Ἐδίψησέ σε ἡ ψυχή με ποσαπλῶς σοι ἡ σάρξ με ἐν γῇ ἐρήμῳ ϗ ἀββάτῳ ϗ ἀνύδρῳ.
Ἐξέλιπον οἱ ὀφθαλμοί με ἀπὸ τε ἐλπίζειν με ἐπὶ τὸν Θεόν με.
Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός με.
Ἐγὼ δὲ ἐν τῷ αὐτὲς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον ϗ ἐταπείνεν ἐν νηςείᾳ τὴν ψυχήν με.
Καὶ γνῶτε ὅτι ἐθαυμάςωσε Κύριος τὸν ὅσιον αὐτε.
Ὅτι Κύριος ἀγαπᾷ κρίσιν, ϗ ἐκ ἐγκαταλείψει τὲς ὁσίες αὐτε.
Φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτε.
Καυχήσονται ὅσιοι ἐν δόξῃ, ϗ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Τίμιος ἐναντίον Κυρίε ὁ θάνατος τῶν ὁσίων αὐτε.
Ἡ αἴνεσις αὐτε ἐν ἐκκλησίᾳ ὁσίων.
Ψάλλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτε, ϗ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτε.

Δόξα, καὶ νῦν Ἀλληλεΐα.

---

Εἰς τὴν Γέννησιν τε Κυρίε ϗ Θεε ϗ Σωτῆρος ἡμῶν Ἰησε Χριςε.

Πᾶσα ἡ γῆ Ἀλληλεΐα.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ Ἀλληλεΐα.
Ψάλατε δὴ τῷ ὀνόματι αὐτε.
Δότε δόξαν ἐν αἰνέσει αὐτε.
Διηγήσασθε πάντα τὰ θαυμάσια αὐτε.
Εἴπατε τῷ Θεῷ ὡς φοβερὰ τὰ ἔργα σε.
Εὐφραινέσθωσαν οἱ ἐρανοὶ, ϗ ἀγαλλιάσθω ἡ γῆ.
Λύτρωσιν ἀπέςειλε Κύριος τῷ λαῷ αὐτε.
Ὡραῖος κάλλει παρὰ τὲς υἱὲς τῶν ἀνθρώπων.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ὁ Θεὸς ἡμῶν ἐν τῷ ἐρανῷ, ἢ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησε.
Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, ἢ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ.
Τὰ ἐλέη σε Κύριε εἰς τὸν αἰῶνα ᾄσομαι.
Ἀπαγγελῶ τὴν ἀλήθειάν σε ἐν τῷ σόματί με.
Ἕως τε αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σε.
Καὶ οἰκοδομήσω εἰς γενεὰν ἢ γενεὰν τὸν θρόνον σε.
Τὸ σπέρμα αὐτε μένει εἰς τὸν αἰῶνα.
Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης.
Αὐτὸς ἐπικαλέσεταί με πατήρ με εἶ σὺ, Θεός με, ἢ ἀντιλήπτωρ τῆς σωτηρίας με.
Κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.
Καὶ προσκυνήσεσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς.
Τίς Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος.
Περίζωσαι τὴν ῥομφαίαν σε ἐπὶ τῶν μηρῶν σε δυνατέ.
Ποιμανεῖς αὐτες ἐν ῥάβδῳ σιδηρᾷ.
Κύριος ἐκ δεξιῶν σε συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτε βασιλεῖς.
Σοὶ οἴσεσι βασιλεῖς δῶρα.
Ἐκ γαςρὸς πρὸ ἑωσφόρε ἐγέννησά σε.
Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.
Κύριος εἶπε πρός με υἱός με εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.
Αἴτησαι παρ᾽ ἐμε, ἢ δώσω σοι ἔθνη τὴν κληρονομίαν σε.
Ὁ θρόνος σε ὁ Θεὸς εἰς τὸν αἰῶνα τε αἰῶνος.
Ῥάβδον εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σε.
Ἠγάπησας δικαιοσύνην, ἢ ἐμίσησας ἀνομίαν.
Διὰ τετο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σε ἔλεον ἀγαλλιάσεως παρὰ τες μετόχες σε.
Ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

Δόξα, ἢ νῦν Ἀλληλεΐα.

---

Εἰς τὰ Ἅγια Θεοφάνεια.

Καὶ ἐλεῆσαι ἡμᾶς Ἀλληλεΐα.

Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς, ἢ εὐλογῆσαι ἡμᾶς ἐπιφάναι τὸ πρόσωπον αὐτε ἐφ᾽ ἡμᾶς, ἢ ἐλεῆσαι ἡμᾶς Ἀλληλεΐα.



Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Προσέλθετε πρὸς αὐτὸν ϗ φωτίσθητε, ϗ τὰ πρόσωπα ὑμῶν ȣ μὴ καταισχυνθῇ Ἀλληλέϊα.
Τȣ ποταμȣ τὰ ὁρμήματα εὐφραίνȣσι τὴν πόλιν τȣ Θεȣ.
Φωνὴ Κυρίȣ ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησεν ἐπὶ ὑδάτων πολλῶν.
Ὁ ποταμὸς τȣ Θεȣ ἐπληρώθη ὑδάτων.
Ἐπῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν.
Ἀρȣσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν.
Διὰ τȣτο μνησθήσομαί σȣ ἐκ γῆς Ἰορδάνȣ ϗ Ἑρμονιείμ.
Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρακτῶν σȣ.
Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σȣ ὀψόμεθα φῶς.
Ἡ θάλασσα εἶδε, ϗ ἔφυγεν, ὁ Ἰορδάνης ἐςράφη εἰς τὰ ὀπίσω.
Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, ϗ οἱ βȣνοὶ ὡς ἀρνία προβάτων.
Ἀπὸ προσώπȣ Κυρίȣ ἐσαλεύθη ἡ γῆ.
Τȣ ςρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, ϗ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.
Ἐπίφανον τὸ πρόσωπόν σȣ, ϗ σωθησόμεθα.
Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σȣ τὴν θάλασσαν.
Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τȣ ὕδατος.
Σὺ διέῤῥηξας πηγὰς ϗ χειμάῤῥȣς, σὺ ἐξήρανας ποταμȣς Ἠθάμ.
Εἴδοσάν σε ὕδατα ὁ Θεὸς, εἴδοσάν σε ὕδατα, ϗ ἐφοβήθησαν.
Ἐταράχθησαν ἄβυσσοι, πλῆθος ἤχȣς ὑδάτων.
Φωνὴν ἔδωκαν αἱ νεφέλαι, ϗ γὰρ τὰ βέλη σȣ διαπορεύονται.
Φωνὴ τῆς βροντῆς ἐν τῷ τροχῷ.
Ἔφαναν αἱ ἀςραπαί σȣ τῇ οἰκȣμένῃ.
Ἐσαλεύθη ϗ ἔντρομος ἐγενήθη ἡ γῆ.
Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σȣ, ϗ αἱ τρίβοι σȣ ἐν ὕδασι πολλοῖς, ϗ τὰ ἴχνη σȣ ȣ γνωσθήσονται.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σȣ Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα, ϗ νῦν Ἀλληλέϊα.

---

### Εἰς τὴν Ὑπαπαντὴν τȣ Σωτῆρος ἡμῶν Ἰησȣ Χριςȣ.

Λόγον ἀγαθὸν, Ἀλληλέϊα.

Ἐξηρεύξατο ἡ καρδία μȣ λόγον ἀγαθὸν Ἀλληλέϊα.

Λέ-

Δημόσια Βιβλιοθήκη Μηλεών

Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ.
Ἡ γλῶσσα μου κάλαμος γραμματέως ὀξυγράφου.
\+ Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.
Ἐξεχύθη χάρις τοῖς χείλεσί σου.
Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τῶν μηρῶν σου δυνατέ.
Τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου.
Καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε.
Καὶ ὁδηγήσει σε θαυμαςῶς ἡ δεξιά σου.
Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου.
Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν.
Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.
Σμύρνα καὶ σακτὴ καὶ κασσία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βάρεων ἐλεφαντίνων.
Παρέςη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ, περιβεβλημένη πεποικιλμένη, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη.
Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου.
Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.
Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.
Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιςος.
Ἅγιος ὁ ναός σου θαυμαςὸς ἐν δικαιοσύνει.
Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν.
Μνηθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Δόξα, καὶ νῦν Ἀλληλούϊα.

Εἰς τὸν Εὐαγγελισμὸν τῆς Ὑπεραγίας ἡμῶν Θεοτόκου.

Τῷ υἱῷ τοῦ βασιλέως Ἀλληλούϊα.

Ὁ Θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως Ἀλληλούϊα.

Κρί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

β'— Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, ϗ τοὺς πτωχούς σου ἐν κρίσει.
γ'— Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, ϗ οἱ βουνοὶ δικαιοσύνην.
Εὐαγγελίζεσθαι ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.
δ'— Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.
Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ.
Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, ϗ οὐ μὴ ἀθετήσει αὐτήν.
Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.
Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, ϗ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.
α' Κύριε κλῖνον οὐρανοὺς ϗ κατάβηθι.
β' Καὶ ἔκλινεν οὐρανοὺς ϗ κατέβη.
γ' Ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.
δ' Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος.
Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.
α' Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν ϗ οὐ παρασιωπήσεται.
Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη.
β' Καὶ προσκυνήσουσιν αὐτὸν πάντες οἱ βασιλεῖς τῆς γῆς.
γ' Πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.
Ὅτι ἐῤῥύσατο πτωχὸν ἐκ δυνάστου, ϗ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός.
δ' Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας.
Πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.
Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ὁ ποιῶν θαυμάσια μόνος.
Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα, ϗ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ, γένοιτο γένοιτο.

Δόξα, ϗ νῦν. Ἀλληλούϊα.

---

### Τῇ Κυριακῇ τῶν Βαΐων.

### Ἐν πάσῃ τῇ γῇ Ἀλληλούϊα.

Κύριε ὁ Κύριος ἡμῶν ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ, Ἀλληλούϊα.
Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.

Ἐκ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐκ ςόματος νηπίων ϗ θηλαζόντων κατηρτίσω αἶνον.
Ἕνεκα τῶν ἐχθρῶν σȣ τȣ͂ καταλύσαι ἐχθρὸν ϗ ἐκδικητήν.
Ἐπετίμησας ἔθνεσι ϗ ἀπώλετο ὁ ἀσεβής.
Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομȣ͂ντες, ἕτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.
Παρὰ Κυρίȣ ἐγένετο αὕτη, ϗ ἔςι θαυμαςὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Κύριος ἐν Σιὼν μέγας ϗ ὑψηλὸς ἐςὶν ἐπὶ πάντας τȣ̀ς λαȣ́ς.
Ἤκȣσε, ϗ εὐφράνθη ἡ Σιὼν, ϗ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰȣδαίας.
Ἐπαίνει Ἰερȣσαλὴμ τὸν Κύριον, αἴνει τὸν Θεόν σȣ Σιών.
Τȣ͂ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίȣ, ϗ τὴν αἴνεσιν αὐτȣ͂ ἐν Ἰερȣσαλήμ.
Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίȣ, Θεὸς Κύριος ϗ ἐπέφανεν ἡμῖν.
Συςήσατε ἑορτὴν, ἐν τοῖς πυκάζȣσιν ἕως τῶν κεράτων τȣ͂ θυσιαςηρίȣ.
Θεός μȣ εἶ σὺ, ϗ ἐξομολογήσομαί σοι, Θεός μȣ εἶ σὺ ϗ ὑψώσω σε.
Ψάλλατε τῷ Κυρίῳ, τῷ κατοικȣ͂ντι ἐν Σιών.
Ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σȣ ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.
Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τȣ͂ Ἰσραήλ.
Ἐν αὐλαῖς οἴκȣ Κυρίȣ ἐν μέσῳ σȣ Ἰερȣσαλήμ.
Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα ὁ Θεός σȣ Σιὼν εἰς γενεὰν ϗ γενεάν.
Ἡ αἴνεσις αὐτȣ͂ μένει εἰς τὸν αἰῶνα τȣ͂ αἰῶνος.

Δόξα, ϗ νῦν Ἀλληλȣΐα.

---

**Τῇ Κυριακῇ τȣ͂ Θωμᾶ.**

## Ἐνεδύσατο Ἀλληλȣΐα.

Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο Ἀλληλȣΐα.
Ἐνεδύσατο Κύριος δύναμιν, ϗ περιεζώσατο.
Καὶ γὰρ ἐςερέωσε τὴν οἰκȣμένην ἥτις ȣ̓ σαλευθήσεται.
Τίς λαλήσει τὰς δυναςείας τȣ͂ Κυρίȣ, ἀκȣςὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτȣ͂.

Ἐξο-

Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτȣ̃, ϗ τὰ θαυμάσια αὐτȣ̃ τοῖς υἱοῖς τῶν ἀνθρώπων.
Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, ϗ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.
Καθημένȣς ἐν σκότει, ϗ σκιᾷ θανάτȣ.
Πεπεδημένȣς ἐν πτωχείᾳ ϗ σιδήρῳ.
Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίȣ, ȣ̔̀ς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθρῶν.
Ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν.
Ἠσθένησαν, ϗ ἐκ ἦν ὁ βοηθῶν.
Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτȣ́ς.
Καὶ ἐξάγαγεν αὐτȣ̀ς ἐκ σκότȣς, ϗ σκιᾶς θανάτȣ.
Ὅτι συνέτριψε πύλας χαλκᾶς, ϗ μοχλȣ̀ς σιδηρȣ̃ς συνέθλασεν.
Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως.
Καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτȣ̃ ἐν ἀγαλλιάσει.
Ὑψωσάτωσαν αὐτὸν ἐκ ἐκκλησίᾳ λαȣ̃, ϗ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.
Ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, ϗ ἐπάταξε τȣ̀ς ἐχθρȣ̀ς αὐτȣ̃.
Ἀνασήτω ὁ Θεὸς ϗ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτȣ̃.
Καὶ φυγέτωσαν ἀπὸ προσώπȣ αὐτȣ̃ οἱ μισȣ̃ντες αὐτόν.
Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος ἀγαλλιασώμεθα ϗ εὐφρανθῶμεν ἐν αὐτῇ.
Ἀνάσηθι Κύριος ὁ Θεός μȣ, ὑψωθήτω ἡ χείρ σȣ μὴ ἐπιλάθῃ τῶν πενήτων σȣ εἰς τέλος.

Δόξα, καὶ νῦν Ἀλληλȣΐα

---

## Τῇ πέμπτῃ τῆς Ἀναλήψεως.

Ἀγαλλιάσεως Ἀλληλȣΐα.

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως Ἀλληλȣΐα.
Ὅτι Κύριος ὕψισος φοβερὸς· βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
Ὑπέταξε λαȣ̀ς ἡμῖν, ϗ ἔθνη ὑπὸ τȣ̀ς πόδας ἡμῶν.
Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτῷ.

Ἀνέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.
Καὶ ἀνέβη ἐπὶ Χερουβὶμ, καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.
Ἄρατε πύλας οἱ ἄρχοντες ἡμῶν.
Καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.
Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.
Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης.
Κύριος κραταιὸς, καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ.
Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν μου.
Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ καὶ ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.
Προσκυνήσατε αὐτῷ πάντες οἱ Ἄγγελοι αὐτοῦ.
Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.
Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ἀνέβης εἰς ὕψος ᾐχμαλώτευσας αἰχμαλωσίαν.
Ἐκάθησας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην.
Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.
Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
Ὑψώθητι ὁ κρίνων τὴν γῆν.
Ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου, ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.
Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν.
Ψάλλατε τῷ Θεῷ ἡμῶν ψάλλατε.
Ψάλλατε τῷ βασιλεῖ ἡμῶν ψάλλατε.
Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Δόξα, καὶ νῦν Ἀλληλούϊα.

## Τῇ Κυριακῇ τῆς Πεντηκοστῆς.

### Τὸ στερέωμα Ἀλληλούϊα.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα, Ἀλληλούϊα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Τῷ λόγῳ Κυρίȣ οἱ ȣ̓ρανοὶ ἐςερεώθησαν, ϗ τῷ πνεύματι τȣ͂ ςόματος αὐτȣ͂ πᾶσα ἡ δύναμις αὐτȣ͂.

Κύριος ἐκ τȣ͂ ȣ̓ρανȣ͂ διέκυψεν ἐπὶ τȣ̀ς υἱȣ̀ς τῶν ἀνθρώπων.

Πῦρ ἐνώπιον αὐτȣ͂ προπορεύσεται, ϗ κύκλῳ αὐτȣ͂ καταιγὶς σφοδρά.

Ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτȣ͂, ϗ ἔκλινεν ȣ̓ρανȣ̀ς ϗ κατέβη.

Καὶ ἐσαλεύθη, ϗ ἔντρομος ἐγεννήθη ἡ γῆ.

Ἀπὸ τῆς τηλαυγήσεως αὐτȣ͂ αἱ νεφέλαι διῆλθον.

Πτέρυγες περιςερᾶς περιηργυρωμέναι, ϗ τὰ μετάφρενα αὐτῆς ἐν χλορότητι χρυσίȣ.

Ἡ μαρτυρία Κυρίȣ πιςὴ σοφίζȣσα νήπια.

Ἡ ἐντολὴ Κυρίȣ τηλαυγὴς φωτίζȣσα ὀφθαλμȣ́ς.

Φωνὴ Κυρίȣ συσσείοντος ἔρημον, ϗ συσσείσει Κύριος τὴν ἔρημον Κάδδης.

Γῆ ἐσείσθη, ϗ γὰρ οἱ ȣ̓ρανοὶ ἔςαξαν ἀπὸ προσώπȣ τȣ͂ Θεȣ͂ Ἰσραήλ.

Βροχὴν ἑκȣ́σιον ἀφοριεῖς ὁ Θεὸς τῇ κληρονομίᾳ σȣ.

Ἀντὶ τῶν πτερύγων σȣ ἐγενήθησαν οἱ υἱοί σȣ.

Καταςήσεις αὐτȣ̀ς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, ϗ εἰς τὰ πέρατα τῆς οἰκȣμένης τὰ ῥήματα αὐτȣ͂.

Ἐξαποςελεῖς τὸ πνεῦμά σȣ, ϗ κτισθήσονται, ϗ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Πȣ͂ πορευθῶ ἀπὸ τȣ͂ πνεύματός σȣ, ϗ ἀπὸ τȣ͂ προσώπȣ σȣ πȣ͂ φύγω.

Τὸ πνεῦμά σȣ τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, ϗ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μȣ.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τȣ͂ προσώπȣ σȣ, ϗ τὸ πνεῦμά σȣ τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμȣ͂.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τȣ͂ σωτηρίȣ σȣ, ϗ πνεύματι ἡγεμονικῷ ςήριξόν με.

Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.

Κύριος ἰσχὺν τῷ λαῷ αὐτȣ͂ δώσει, Κύριος εὐλογήσει τὸν λαὸν αὐτȣ͂ ἐν εἰρήνῃ.

Δόξα, ϗ νῦν Ἀλληλȣ́ϊα.

Εἰ-

Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἰς τὴν Γέννησιν, ϗ εἰς τὴν Ἀποτομὴν καὶ εἰς τὰς ἄλλας ἑορτὰς τοῦ Τιμίου Προδρόμου.

Ὁ φοβούμενος τὸν Κύριον Ἀλληλούϊα.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον Ἀλληλούϊα.
Ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα Ἀλληλούϊα.
Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ ὄνομα αὐτοῦ.
Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν.
Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.
Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.
Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου.
Φῶς ἀνέτειλε τῷ δικαίῳ, ϗ τῆς εὐθέσιν τῇ καρδίᾳ εὐφροσύνη.
Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ ϗ ἐλπιεῖ ἐπ᾽ αὐτόν.
Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, ϗ μὴ ἀθετήσει αὐτήν.
Ἐκ καρποῦ τῆς κοιλίας σου, θήσομαι ἐπὶ τοῦ θρόνου σου.
Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου.
Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, ϗ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.
Ὁμοιώθην πελεκάνι ἐρημικῷ, ἐγεννήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.
Ἠγρύπνησα ϗ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος.
Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας ϗ ἡ σάρξ μου ἠλλοιώθη δι᾽ ἔλαιον.
Πορευόμενος ἄμωμος, ϗ ἐργαζόμενος δικαιοσύνην.
Καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσει.
Προπορεύσει γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.
Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ.
Ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν.
Διὰ τοὺς λόγους τῶν χειλέων σου, ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.
Τὴν ἀλήθειάν σου, ϗ τὸ σωτήριόν σου εἶπα.
Οὐκ ἔκρυψα τὸ ἔλεός σου, ϗ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς.
Εἶπα τοῖς παρανομοῦσι μὴ παρανομεῖτε, ϗ τοῖς ἁμαρτάνουσι μὴ ὑψοῦτε κέρας.
Ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, Κύριε σὺ ἔγνως.
Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

Δόξα, καὶ νῦν Ἀλληλούϊα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Εἰς τὴν κοίμησιν τῆς Ἁγίας καὶ Θεοπρομήτορος Ἄννης.

Τῆ δεήσεώς με Ἀλληλεῖα.

Ἠγάπησα, ὅτι εἰσακέσετε Κύριος τῆς φωνῆς τῆς δεήσεώς με, Ἀλληλεῖα.

Ὅτι ἔκλινε τὸ ἕς αὐτῆ ἐμοὶ, καὶ ἐν ταῖς ἡμέραις με ἐπικαλέσομαι.

Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι.

Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκεσέ με εἰς πλατυσμόν.

Οἱ φοβέμενοι τὸν Κύριον, ἤλπισαν ἐπὶ Κύριον.

Βοηθὸς καὶ ὑπερασπιςὴς αὐτῶν ἐςίν.

Ἰσχύς με, καὶ ὕμνησίς με ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν.

Φωνὴ ἀγαλλιάσεως, καὶ σωτηρίας ἐν σκηναῖς δικαίων.

Δεξιὰ Κυρίε ἐποίησε δύναμιν, δεξιὰ κυρίε ὕψωσέ με.

Ἐξομολογήσομαί σοι ὅτι ἐπήκεσάς με, καὶ ἐγένε μοι εἰς σωτηρίαν.

Διέῤῥηξας τὲς δεσμές με, σὺ θύσω θυσίαν αἰνέσεώς με, καὶ ἐν ὀνόματι Κυρίε ἐπικαλέσομαι.

Κύριος μνησθεὶς ἡμῶν, εὐλόγησεν ἡμᾶς.

Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας με ἐν μέσῳ τῆ οἴκε με.

Κύριε εἰσάκεσον τῆς προσευχῆς με, καὶ ἡ κραυγή με πρὸς σὲ ἐλθέτω.

Ὅλην τὴν ἡμέραν ὀνείδιζόν με οἱ ἐχθροί με, καὶ οἱ ἐπαινῆντες με κατ' ἐμῆ ὤμνυον.

Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ ὲκ ἐξεδένωσε τὴν δέησιν αὐτῶν.

Κύριος ἐξ ὀρανῆ ἐπὶ τὴν γῆν ἐπέβλεψε τῆ ἀκῆσαι τῆ ςεναγμῆ τῶν πεπεδημένων.

Μνήσθητι Κύριε τῆ ὀνειδισμῆ τῶν δέλων σε, ὃ ὑπέσχε ἐν τῷ κόλπῳ με πολλῶν ἐθνῶν.

Ἤκεσε καὶ εὐφράνθη ἡ Σιὼν, καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰεδαίας, ἕνεκε τῶν κριμμάτων σε Κύριε.

Ἤκεσεν ἐκ ναῆ ἁγίε αὐτῆ φωνῆς με, καὶ ἡ κραυγή με ἐνώπιον αὐτῆ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτῆ.

Εὐφρανθήτω καρδία ζητέντων τὸν Κύριον, ζητήσατε τὸν Κύριον καὶ κραταιώθητε

Ἀγα-

Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἐξαπέςειλεν ἐξ ἐρανῦ, ϗ ἔσωσέ με, ἔδωκεν εἰς ὄνειδος τὲς καταπατῦντας με.
Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον.
Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχεσιν.
Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος, ἐν τῷ οἴκῳ τῦ Θεῦ ἤλπισα, ἐπὶ τὸ ἔλεος τῦ Θεῦ εἰς τὸν αἰῶνα.
Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, ϗ ἐ μὴ ἀθετήσει αὐτήν.
Ἐκ καρπῦ τῆς κοιλίας σε θήσομαι ἐπὶ τῦ θρόνε σε.
Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ.
Εὐλογητὸς ὁ Θεὸς ὃς ἐκ ἀπέςησε τὴν προσευχήν με, ϗ τὸ ἔλεος αὐτῦ ἀπ' ἐμῦ.

Δόξα, καὶ νῦν Ἀλληλεΐα.

---

Εἰς τὴν Μεταμόρφωσιν τῦ Κυρίε καὶ Σωτῆρος ἡμῶν Ἰησῦ Χριςῦ.

Καὶ αἰνετὸς σφόδρα Ἀλληλεΐα.

Μέγας Κύριος ϗ αἰνετὸς σφόδρα Ἀλληλεΐα.
Ἐν πόλει Κυρίε τῦ Θεῦ ἡμῶν, ἐν ὄρη ἁγίῳ αὐτῦ.
Ἑτοιμάζων ὄρη ἐν τῇ ἰχύϊ αὐτῦ.
Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.
Τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπε Κυρίε, ϗ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτῦ.
Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμε, ϗ ἀγαλλίασιν οἱ βενοὶ περιζώσονται.
Ὄρος τῦ Θεῦ, ὄρος πῖον, ὄρος τετυρωμένον, ὄρος πῖον.
Τίς ἀναβήσεται εἰς τὸ ὄρος τῦ Κυρίε, ἢ τίς ςήσεται ἐν τόπῳ ἁγίῳ αὐτῦ.
Κύριε τίς παροικήσει ἐν τῷ σκηνώματί σε ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σε;
Ἐξαπόςειλον τὸ φῶς σε, ϗ τὴν ἀλήθειάν σε.
Αὐτά με ὡδήγησαν, ϗ ἤγαγόν με εἰς ὄρος ἅγιόν σε.
Ἡ δεξιά σε, ϗ ὁ βραχίων σε, ϗ ὁ φωτισμὸς τῦ προσώπε σε.
Φωτίζεις σὺ θαυμαςὸς ἀπὸ ὀρέων αἰωνίων.

Σὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Σὴ ἐςὶν ἡ ἡμέρα, ϗ σὺ ἐςὶν ἡ νύξ.
Σὺ κατηρτίσω φαῦσιν, ϗ ἥλιον.
Σὺ ἐποίησας πάντα τὰ ὡραῖα τῆς γῆς.
Θέρος, ϗ ἔαρ σὺ ἔπλασας αὐτά.
Σοὶ ἐςὶν οἱ ἐρανοὶ, ϗ σὴ ἐςὶν ἡ γῆ.
Τὴν οἰκȣμένην, ϗ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας.
Τὸν Βοῤῥᾶν, ϗ τὴν θάλασσαν σὺ ἔκτισας.
Θαβὼρ, ϗ Ἑρμὼν ἐν τῷ ὀνόματίσȣ ἀγαλλιάσονται.
Κύριε ἐν τῷ φωτὶ τȣ̃ προσώπȣ σȣ πορεύσονται.
Καὶ ἐν τῷ ὀνόματίσȣ ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν.
Καὶ ἐν τῇ δικαιοσύνῃ σȣ ὑψωθήσονται.
Καὶ ἔςω ἡ λαμπρότης Κυρίȣ τȣ̃ Θεȣ̃ ἡμῶν ἐφ᾿ ἡμᾶς ἀπὸ τȣ̃ νῦν ϗ ἕως τȣ̃ αἰῶνος.

Δόξα, ϗ νῦν Ἀλληλȣ̈ΐα.

---

Εἰς τὴν Κοίμησιν τῆς Ὑπεραγίας ἡμῶν Θεοτόκȣ.

Πᾶσα ἡ γῆ Ἀλληλȣ̈ΐα.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ Ἀλληλȣ̈ΐα.
Ἄσατε, ϗ ἀγαλλιᾶσθε, ϗ ψάλατε.
Ἀλαλάξατε ἐνώπιον τȣ̃ βασιλέως Κυρίȣ.
Ἐν πόλει Κυρίȣ τῶν δυνάμεων, ἐν πόλει τȣ̃ Θεȣ̃ ἡμῶν.
Δεδοξασμένα ἐλαλήθη περὶ σȣ̃ ἡ πόλις τȣ̃ Θεȣ̃.
Ἐγεννήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτȣ̃, ϗ τὸ κατοικητήριον αὐτȣ̃ ἐν Σιών.
Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.
Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς ϗ ȣ̓ σαλευθήσεται.
Ἡγίασε τὸ σκήνωμα αὐτȣ̃ ὁ ὕψιςος.
Ἁγιωσύνη, ϗ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτȣ̃.
Ὄρος Σιὼν τȣ̃το, ὃ κατεσκήνωσας ἐν αὐτῷ.
Ποτήριον Σωτηρίȣ λήψομαι ϗ τὸ ὄνομα Κυρίȣ ἐπικαλέσομαι.

Ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω.
Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου.
Αἰσχυνθήτωσαν, καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών.
Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου.
Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ μετὰ δόξης προσελάβου με.
Κύριε εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου.
Ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ.
Ἐν φωνῇ ἀγαλλιάσεως, καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος.
Πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.
Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.
Ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ.
Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου.
Κύκλω αὐτοῦ ἡ σκηνὴ αὐτοῦ.
Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.
Ἅγιος ὁ ναός σου θαυμαστὸς ἐν δικαιοσύνῃ.
Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν.

Δόξα, καὶ νῦν Ἀλληλούϊα.

Τῇ Κυριακῇ τῆς ἀποκρέω καὶ τῆς ἀποτυρώσεως.

Καὶ ἐκλαύσαμεν Ἀλληλούϊα.

Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν Ἀλληλούϊα.
Ἐν τῷ μνησθῆναι ἡμᾶς τὴν Σιών.
Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.
Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν.

Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

Καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον.
Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.
Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας.
Ἐὰν ἐπιλάθωμαί σου Ἱερουσαλὴμ, ἐπιλησθείη ἡ δεξιά μου.
Κολληθείη ἡ γλῶσσα μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ.
Ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.
Μνήσθητι Κύριε τῶν υἱῶν Ἐδὼμ, τὴν ἡμέραν Ἱερουσαλήμ.
Τῶν λεγόντων, ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς.
Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος.
Μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν.
Μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.

Δόξα, καὶ νῦν Ἀλληλούϊα.

Ε'Ρ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΕʼΡΜΗΝΕΙʼΑ

## ΟʼΠΩΣ ΟʼΦΕΙΛΕΙ ΣΤΙΧΟΛΟΓΕΙʼΣΘΑΙ

Τὸ Ψαλτήριον ἐν ὅλῳ τῷ ἐνιαυτῷ.

Δεῖ γινώσκειν, ὅτι ἕτως ὀφείλει ςιχολογεῖσθαι τὸ ψαλτήριον καθʼ ὅλον τὸν ἐνιαυτόν. ἤγεν ἀπὸ τῆς, κ. τȣ̃ Σεπτεμβρίȣ Μηνὸς, καθʼ ἑκάςην ςιχολογȣ̃μεν Καθίσματα, γ΄. ἐν δὲ τῷ Εʽσπερινῷ, τὰ Πρὸς Κύριον. Προςιθέαμεν δὲ κ̀ τὸν Πολυέλεον εἰς τὴν ἀγρυπνίαν. Ἀπὸ δὲ τῆς Χριςȣ̃ Γεννήσεως μέχρι τῆς ιδ΄. τȣ̃ Ἰαννȣαρίȣ μηνὸς, ἐν ᾗ ἀποδίδοται ἡ ἑορτὴ τῶν ἁγίων Θεοφανείων, εἰς μὲν τὸν Ὄρθρον Καθίσματα, β΄. ἐν δὲ τῷ Εʽσπερινῷ, τὸ ἕτερον, ὡς πληρȣ̃σθαι ἐν ἑκάςῃ Εʽβδομάδι τὸ Ψαλτήριον. Ἀπὸ δὲ τῆς, ιέ. τȣ̃ Ἰαννȣαρίȣ μηνὸς προςιθέαμεν εἰς τὸν Ὄρθρον τὸ Κάθισμα, εἰς δὲ τὸ λυχνικὸν τὰ πρὸς Κύριον, μέχρι τȣ̃ Σαββάτȣ τῆς Ἀποκρέω.. Τὰς δὲ, β΄. ἑβδομάδας τῆς τε Ἀποκρέω, κ̀ τῆς Τυρινῆς, ςιχολογȣ̃νται εἰς τὸν Ὄρθρον Καθίσματα, β΄. εἰς δὲ τὸν Εʽσπερινὸν, τὸ ἕτερον, διὰ μικρὰν ἀνάπαυσιν τῶν ἀδελφῶν. Τὰς δὲ ἓξ Εʽβδομάδας της ἁγίας Μ΄. δὶς τελειȣ̃μεν τὸ Ψαλτήριον ἑκάςῃ Εʽβδομάδι. Τῇ δὲ ἁγίᾳ κ̀ μεγάλῃ Εʽβδομάδι πληρȣ̃μεν αὐτὸ ἅπαξ, ἤτοι τῇ μεγάλῃ Τετράδι, κ̀ ϛολάζει ἀπὸ τῆς μεγάλης πέμπτης μέχρι τȣ̃ Σαββάτȣ τȣ̃ Ἀντιπάϛα. Κατὰ δὲ τὴν ἀγρυπνίαν, τȣ̃ ἁγίȣ Ἀποςόλȣ Θωμᾶ, ἤγεν τῇ νέᾳ Κυριακῇ, ἀρχόμεθα πάλιν ςιχολογεῖν τὸ ψαλτήριον καθʼ ἑκάςην ἡμέραν, εἰς μὲν τὸν Ὄρθρον, Καθίσματα, β΄. εἰς δὲ τὸν Εʽσπερινὸν ἕν, μέχρι τῆς, κ΄. τȣ̃ Σεπτεμβρίȣ μηνὸς, ὥσπερ δεδήλωται. Χρὴ δὲ εἰδέναι, ὅτι ςιχολογία ἐν πάσαις ταῖς Κυριακαῖς ἑσπέρας ȣ̉ γίνεται, ὡσαύτως κ̀ ἐν ταῖς Δεσποτικαῖς Εʽορταῖς, ἐν αἷς δηλονότι γίνεται ἀγρυπνία.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

# ΧΡΙΣΤΙΑΝΙΚΑΙ ΠΡΟΣΕΥΧΑΙ.

## Προσευχὴ Ὄρθριος.

Ὁ Θεός μου, ὁ Πατήρ μου καὶ Σωτὴρ ὤν, ἐπειδὴ ἐχαρίσω μοι τὸ ἰανήσαντα τὴν νύκτα, μέχρι ταύτης τῆς ἡμέρας περιγενέσθαι, δός μοι καὶ νῦν τὸ ταύτην διαπερᾶν λατρεύοντά σοι, ὥστε μηδὲν τὸ παράπαν διανοεῖσθαι, μηδὲ λαλεῖν μηδὲ ποιεῖν, εἰ μὴ ἐφ᾽ ᾧ εὐαρεστεῖν σοι καὶ τῷ σῷ θελήματι πείθεσθαι ὡς ἂν πάντα τὰ ἔργα μου πρὸς τὴν δόξαν τοῦ σοῦ ὀνόματος καὶ τὴν οἰκοδομὴν τοῦ πέλας τείνῃ, ὥσπερ δὲ ἀξιοῖς τὰ ἡμῶν σώματα καταυγάσαι, τὰς τοῦ σοῦ ἡλίου ἀκτῖνας εἰς τὴν γῆν καταπέμπων. οὕτω καὶ τὴν ἐμὴν καρδίαν τῇ αὐγῇ τοῦ σοῦ πνεύματος φώτισον, τῇ πρὸς τὴν σὴν δικαιοσύνην ὁδηγησούσῃ με. ὥστε, ᾧ ἂν ποτὲ ἐγχειρήσω πράγματι, πρὸ πάντων ἀεὶ τὸν φόβον σου παραστῆναί μοι, καὶ πάντα πρὸς τὴν σὴν τιμὴν ἀναφέρειν, οὐδὲν ἀγαθὸν ἄλλοθεν ἢ παρὰ τῆς σῆς χάριτος καὶ εὐλογίας προσδοκῶντα. ἵνα μηδ᾽ ὁτιοῦν ὁρμήσω, πλὴν τῶν ἀρεσκόντων σοι ποιεῖν, δὸς δὲ καὶ τὸ μεταξὺ πονοῦντα ἐπὶ τῷ πορίσασθαι τὰ πρὸς τὸν παρόντα βίον ἀναγκαῖα, περαιτέρω προβαίνειν τῇ διανοίᾳ, ἀποβλέποντα εἰς τὸν ἀΐδιον βίον, ὃν τοῖς σοῖς τέκνοις δώσειν ὑπέχῃ. Οὐ μὴν ἀλλὰ τοῦτε σώματος καὶ τῆς ψυχῆς μου ὑπερασπίζων, πρὸς πάντας τοῦ διαβόλου πειρασμοὺς ὅπλισόν με, καὶ ἀπὸ πάντων τῶν ἐμοὶ ἐπικρεμαμένων κινδύνων ῥῦσον. Ἐπειδὴ δὲ οὐδὲν ὠφελεῖ τὸ ἄρξασθαι καλῶς ποιεῖν, ἐὰν μή τις οὕτω ποιῶν διατελῇ, μὴ εἰς τὴν σήμερον μόνον ἡγεμὼν καὶ κυβερνήτης εἴης Κύριε, ἀλλὰ παρὰ πάντα τὸν βίον ἐπίδοσιν ἐν ἐμοὶ καθ᾽ ἑκάστην λαμβανούσης τῆς σῆς χάριτος, ἕως ἂν παντελῶς ἑνωθῶ τῷ υἱῷ σου Ἰησοῦ Χριστῷ, ὅς ἐστιν οὕτως ἥλιος τῶν ἡμετέρων ψυχῶν, λάμπων ἡμέρας τε καὶ νυκτὸς, καὶ εἰς τὸν ἀεὶ χρόνον. Ἵνα δὲ τούτων παρὰ σοῦ καταξιωθῶ, ἀντιβολῶ σε τῶν ἁμαρτηθέντων μοι ἀμνηστεῖν, καὶ διὰ τοῦ σοῦ ἀνεκδιηγήτου ἐλέους συγγνώμην ἐμοὶ ἔχει, ὥσπερ ἐπηγγείλω ἕξειν πᾶσιν, ὅσοι ἂν ἐκ καρδίας ἐπικαλέσωνταί σε. ὑπὲρ ὧν ἁπάντων ἐν ὀνόματι τοῦ σοῦ υἱοῦ Ἰησοῦ Χριστοῦ ἱκεσίαν σοι ποιοῦμαι, κατὰ τὴν ὑπ᾽ αὐτοῦ παραδοθεῖσαν ἡμῖν προσευχὴν, λέγων. Πάτερ ἡμῶν ὁ ἐν τοῖς Οὐρανοῖς (κτλ.) Ταύτην δὲ τὴν εὐεργεσίαν Κύριε, ταῖς ἄλλαις πρόσθες, τὸ ἐν τῇ ἱερᾷ σου πίστει ἐῤῥιζωμένον διατελεῖν, ἣν σὺ τῇ ἐμῇ καρδίᾳ ὑπὸ τοῦ ἄγαν ἐλέους σου ἐνεφύτευσας. ταύτην καθ᾽ ἑκάστην ἡμέραν ἐν ἐμοὶ αὔξησον, καὶ προσεπιμετρῶν οὐ διαλίμπανε ἕως ἂν ἔκπλεως γένηται, ἧς τὴν ἐξομολόγησιν ποιοῦμαι, λέγων, Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα. κτλ.

Κύ-

Δημόσια Βιβλιοθήκη Μηλεών
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

# Προσευχὴ ἐπικοίτιος

Κύριε ὁ μὲν τῆς ἡμέρας τὸ φῶς τοῖς πόνοις, τῆς δὲ νυκτὸς τὸ σκότος τῇ τῶν πόνων ἀναπνεύσει ἀποτάξας, δός μοι τρεπομένῳ πρὸς ὕπνον, οὕτω διαναπαύειν ταύτῃ τῇ νυκτὶ τὸ ἐμὸν σῶμα, ὥστε μεταξὺ καθεύδοντος αὐτοῦ ἐγρηγορῦιαν τὴν ψυχήν μου ἀτενὲς πρὸς σὲ βλέπειν, καὶ τῷ πόθῳ σου ἀναπτερῦσθαι μηδέ με περιόρα, ὅταν πάσας τὰς βιωτικὰς μερίμνας ἀποθῶμαι ἐφ᾽ ᾧ τὴν ἀναγκαίαν τῇ ἐμῇ ἀσθενείᾳ ἀνάπαυλαν δοῦναι, ἅμα καὶ σοῦ ἐπιλανθανομένου μᾶλλον δὲ ἡ τῆς σῆς ἀγαθότητος καὶ χάριτος μνήμη ἀνεξάλειπτος ἐν τῇ ἐμῇ ψυχῇ διαμένῃ, ἵνα ὥσπερ τὸ σῶμα, οὕτω καὶ ἡ ἐμὴ συνείδησις ἡσυχίας τυγχάνῃ. Κώλυσον δὲ καὶ τὸ ἐμὸν σῶμα ἐντρυφᾶν τῷ ὕπνῳ, ὅπως ἂν μὴ ἀπολαύω πλέον αὐτοῦ, ἢ ὅσον κεκοπιασμένῳ σώματι ἀρκεῖ, ἐφ᾽ ᾧ πρὸς τὴν σὴν θεραπείαν μετὰ ταῦτα κάλλιον παρεσκευάσθαι. Τέλος δὲ ἁγνόν με τά τε κατὰ τὸ σῶμα καὶ τὰ κατὰ τὴν ψυχὴν διατήρησον, καὶ παντὸς κινδύνου ἀπάλλαξον ἵνα καὶ ὁ ὕπνος με πρὸς τὴν δόξαν τοῦ σοῦ ὀνόματος ἀναφέρηται. ἐπειδὴ δὲ οὕτως εὐκαταφόρως πρὸς τὸ ἁμαρτεῖν ἔχω, ὥστε οὐδὲ ταύτην τὴν ἡμέραν δυνηθῆναι ἄπταιστος διαπερᾶν, δέομαί σου καθάπερ τῷ τῆς νυκτὸς ζόφῳ τῷ ἐπὶ τὴν γῆν ὑπὸ σοῦ καταπεμπομένῳ τὰ πάντα νῦν κεκάλυπται, οὕτω καὶ τὰ ἐμὰ πταίσματα τῷ σῷ ἐλέῳ ἀποκρύπτειν, ὡς ἂν μὴ αὐτὰ τῆς πρὸς σὲ εἰσόδου ἀπείργῃ με. Εἰσάκουσόν μου ὦ Θεός μου, ὁ Πατὴρ ἅμα καὶ σωτήρ μου ὤν, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Ἀμήν.

## Εὐχαὶ εἰς μέτρον τῶν εἰκοσιτεσσάρων ὡρῶν τοῦ Νυχθημέρου.

1. Κύριε μὴ στερήσῃς με τῶν ἐπουρανίων σου καὶ αἰωνίων ἀγαθῶν.
2. Κύριε λύτρωσαί με τῶν αἰωνίων κολάσεων.
3. Κύριε εἴτε λόγῳ, εἴτε ἔργῳ, εἴτε κατὰ νοῦν, εἴτε κατὰ διάνοιαν ἥμαρτον, συγχώρισόν μοι.
4. Κύριε λύτρωσαί με ἀπὸ πάσης ἀνάγκης, καὶ ἀγνοίας, καὶ λήθης, καὶ ῥαθυμίας, καὶ τῆς λιθώδους ἀναισθησίας.
5. Κύριε λύτρωσαί με ἀπὸ παντὸς πειρασμοῦ καὶ ἐγκαταλήψεως.
6. Κύριε φώτισον τὴν καρδίαν μου, ἣν ἐσκότισεν ἡ πονηρὰ ἐπιθυμία.
7. Κύριε ἐγὼ μὲν ὡς ἄνθρωπος ἁμαρτάνω, σὺ δὲ ὡς Θεὸς ἐλέησόν με.
8. Κύριε ἴδε τὴν ἀσθένειαν τῆς ψυχῆς μου, καὶ πέμψον τὴν χάριν σου εἰς βοήθειάν μου, ἵνα ἐν ἐμοὶ δοξασθῇ τὸ ὄνομά σου τὸ ἅγιον.
9. Κύριε Ἰησοῦ Χριστέ, ἔγγραψον τὸ ὄνομα τοῦ δούλου σου ἐν βίβλῳ ζωῆς, χαριζόμενος μοι καὶ τέλος ἀγαθόν.
10. Κύριε ὁ Θεός μου, οὐκ ἐποίησα οὐδὲν ἀγαθὸν, ἀλλὰ δός μοι κατὰ τὴν χρηστότητα βαλεῖν ἀρχὴν ἀγαθήν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

11. Κύριε βρέξον εἰς τὴν καρδίαν μου τὸν δρόσον τῆς χάριτός σου.
12. Κύριε ὁ Θεὸς τοῦ Οὐρανοῦ καὶ τῆς γῆς, μνήσθητί μου τοῦ ἁμαρτωλοῦ, τοῦ αἰσχροῦ, τοῦ ἀκαθάρτου καὶ βεβήλου κατὰ τὸ μέγα ἔλεός σου, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.
13. Κύριε ἐν μετανοίᾳ με παράλαβε, καὶ μὴ ἐγκαταλίπῃς με.
14. Κύριε μὴ εἰσενέγκῃς με εἰς πειρασμόν.
15. Κύριε δός μοι ἔννοιαν ἀγαθήν.
16. Κύριε δός μοι δάκρυον καὶ μνήμην θανάτου καὶ κατάνυξιν.
17. Κύριε δός μοι τῶν λογισμῶν ἐξαγόρευσιν.
18. Κύριε δός μοι ταπείνωσιν, ταπεινοφροσύνην, καὶ ὑπακοήν.
19. Κύριε δός μοι ὑπομονὴν, μακροθυμίαν, καὶ πραότητα.
20. Κύριε ἐμφύτευσον ἐν ἐμοὶ τὴν ῥίζαν τῶν ἀγαθῶν, τὸν φόβον σου.
21. Κύριε ἀξίωσόν με ἀγαπᾷν σε ἐξ ὅλης μου τῆς ψυχῆς καὶ τῆς διανοίας, καὶ τῆς καρδίας, καὶ τηρεῖν ἐν πᾶσι τὸ θέλημά σου.
22. Κύριε σκέπασόν με ἀπό τε ἀνθρώπων δεινῶν, καὶ τῶν δαιμόνων, καὶ τῶν παθῶν, καὶ ἀπὸ παντὸς μὴ προσήκοντος πράγματος.
23. Κύριε ὡς κελεύεις, Κύριε ὡς γινώσκεις, Κύριε ὡς βούλει γενηθήτω τὸ θέλημά σου ἐν ἐμοί.
24. Κύριε τὸ σὸν, καὶ μὴ τὸ ἐμὸν, πρεσβείαις καὶ ἱκεσίαις τῆς Παναγίας Θεοτόκου, καὶ πάντων τῶν ἁγίων σου. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

67 80

72
63
9

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Βιβλιοθήκη Μηλεών

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Μηλεών